# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

## 6

## 1909

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛ...
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ...
Ε.Υ. Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΜΑΝΟΥΗΛ ΚΟΡΙΝΘΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ

## ΔΙΗΓΗΣΙΣ

### ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΣΓΟΡΙΩ ΕΙΚΟΝΟΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

---

Μεταξὺ τῶν ἀνεκδότων ἔργων τοῦ κατὰ τὸ πρῶτον ἥμισυ τοῦ δεκάτου ἕκτου αἰῶνος ἀκμάσαντος μεγάλου ῥήτορος τῆς μεγάλης ἐκκλησίας Μανουὴλ τοῦ Κορινθίου[1] εἶνε καὶ ἡ κατωτέρω ἐκδιδομένη *Διήγησις περὶ τῆς σεβασμίας εἰκόνος τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς ἐν Ἀσγορίῳ καὶ τῶν ὑπ' αὐτῆς γεγονότων θαυμάτων κατὰ διαφόρους καιρούς*.

Περιλαμβάνεται δὲ ἡ Διήγησις αὕτη ἐν φ. 104α-132α τοῦ κώδικος 811 τῆς ἐν Ἁγίῳ ὄρει μονῆς τῶν Ἰβήρων, γεγραμμένου τὸν δέκατον ἕκτον αἰῶνα, καὶ φέρει ἐν τέλει ἐρυθροῖς γράμμασι τὴν λέξιν *Ἰωακείμ*, δι' ἧς δηλοῦται πιθανώτατα ὁ βιβλιογράφος.

Ἡ Διήγησις αὕτη, ὡς θέλει πεισθῇ πᾶς τις ἐκ τῆς ἀναγνώσεως, εἶνε ἀξιολογωτάτη πηγὴ τῆς ἱστορίας τῆς Ἀρμενίας καὶ Ἰβηρίας. Ἀλλὰ στερούμενοι ἐνταῦθα τῶν ἀναγκαίων βοηθημάτων πρὸς διαφώτισιν τῶν ἐν αὐτῇ περιλαμβανομένων προσώπων καὶ πραγμάτων, περιοριζόμεθα ἐπὶ τοῦ παρόντος εἰς μόνην τὴν ἔκδοσιν τοῦ κειμένου.

Μανουὴλ τοῦ μεγάλου ῥήτορος τῆς ἐν Κωνσταντινουπόλει ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας Διήγησις περὶ τῆς σεβασμίας εἰκόνος τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς ἐν Ἀσγορίῳ καὶ τῶν ὑπ' αὐτῆς γεγονότων θαυμάτων κατὰ διαφόρους καιρούς.

Τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ὑπὲρ

[1] Ἴδε περὶ αὐτοῦ *Ἀθανάσιον Παπαδόπουλον Κεραμέα* ἐν τῇ Ἐπετηρίδι Παρνασσοῦ Ἔτ. Ϛ' (1902) σ. 71 κ. ἑ. — Νέου Ἑλληνομνήμονος Τόμ. Γ' σ. 480 κ. ἑ. Δ' σ. 116 κ. ἑ.

Ε.Υ.Δ της Κ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἡμῶν σωτηριώδη ὑπερκάλως πεπληρωκότος οἰκονομίαν, δι' ἧς ἡ λογικὴ ἡμῶν ψυχὴ πρὸς ἐπίγνωσιν καὶ θεωρίαν ἀνήχθη θεοῦ καὶ διὰ τῆς ἀναστάσεως τόν τε ἀρχέκακον ὄφιν καὶ τὸν ἐν αὐτῷ θάνατον καταργήσαντος καὶ τὴν ἐκ παραβάσεως παλαιωθεῖσαν ἡμῶν ἀνακαινίσαντος
φ. 104β φύσιν καὶ δι' ἄκραν ἀγαθότητα ἐπὶ τὸ κρεῖττον ὑ||περφυῶς ἀναπλάσαντος, οἱ θεῖοι μαθηταὶ καὶ αὐτόπται γεγονότες αὐτοῦ ὁμοθυμαδὸν ἀλλήλοις συνῆσαν ἐν οἴκῳ τινί, κρυπτόμενοι διὰ τὸν τῶν Ἰουδαίων φόβον, καθάπερ τὸ ἱερὸν διέξεισιν Εὐαγγέλιον. Οἷς καὶ τῶν θυρῶν κεκλεισμένων ὁ Κύριος ἐπιστὰς τὴν εἰρήνην τε ἐπιβραβεύει καὶ τῷ ἀπιστοῦντι μαθητῇ Θωμᾷ τοὺς τύπους τῶν τοῦ σώματος πληγῶν ὑποδεικνύσι καὶ τὴν ἑαυτοῦ ἐκ νεκρῶν τριήμερον πιστοῦται ἀνάστασιν καὶ διαταξάμενος εἰς τὴν Γαλιλαίαν ἀπελθεῖν αὐτούς, εἰς τὸ Ὄρος δῆλα δὴ τῶν Ἐλαιῶν, αὖθις ἐπιφαίνεται αὐτοῖς καὶ τὸν τῶν ψυχῶν αὐτῶν διαλύσας δισταγμὸν τῇ πληροφορίᾳ τῆς δοθείσης αὐτῷ ἐξουσίας ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καίτοι κεκτημένος αὐτὴν ἀϊδίως τε καὶ ἐμφύτως, πλὴν παρὰ τοῦ πατρὸς ἐπιδοθεῖσαν αὐτῷ ἐπεσήμηνεν ὡς ἀπ' αἰτίας ὑπαρκτικῆς δήπουθεν, παρήγγειλεν αὐτοῖς εἰπών Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει καὶ μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
φ. 105α ||πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ταῦτα εἰπὼν καὶ παραγγείλας αὐτοῖς καὶ τὰς χεῖρας ἐπάρας καὶ εὐλογήσας αὐτοὺς διέστη ἀπ' αὐτῶν καὶ ἀνελήφθη εἰς τὸν οὐρανὸν ἐν δόξῃ πρὸς τὸν πατέρα· ὅθεν οὐκ ἐχωρίσθη τὸ σύνολον τοπικῶς κατ' οὐσίαν τὴν θεϊκήν. Συνῆν γὰρ ἀεὶ αὐτῷ ἀνεκφοιτήτως τῇ τῆς θεότητος φύσει· ἀμερὴς γάρ· ἡ τοιαύτη οὐσία παντάπασιν, εἰ καὶ ὡς λόγος ἐκ νοῦ τοῦ πατρὸς διὰ σαρκὸς πρὸς ἡμᾶς ἐκ τῆς ἁγίας παρθένου καὶ Θεοτόκου δι' ἄφατον ἐπεδήμησεν ἔλεος τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων καὶ παραδόξως ἀναπλάττων καὶ ἀνακαλούμενος τῇ θεοπρεπεῖ διδαχῇ κατὰ τὸ ἐν Ψαλμοῖς εἰρημένον Ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰά-
φ. 105β σατο αὐτοὺς καὶ ἐρρύσατο ἐκ τῶν διαφθορῶν αὐτῶν. || Τοῦ Κυρίου

3. ἀρχαίκακον 5. τοκρεῖττον 9-10. ἀπιστούντι 12. ὄρος δηλαδὴ 22. εἰπών 25. τοσύνολον 30. διάφατον

Ε.Υ.Α. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τοίνυν οὕτω μετὰ τοῦ θεωμένου ἑαυτοῦ προςλήμματος εἰς οὐρανοὺς ἀναληφθέντος ἐνώπιον τῶν μαθητῶν καὶ τῆς πανάγνου συμπαρούσης Θεοτόκου, ὑπέστρεψαν οἱ Ἀπόστολοι εἰς Ἱερουσαλὴμ κατὰ τὸν θεῖον Λουκᾶν μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεὸν καὶ τὴν ἐξ ὕψους δύναμιν ἐπενδυθῆναι προςκαρτεροῦντες κατὰ τὴν τοῦ Κυρίου ἐπαγγελίαν τε καὶ ὑπόσχεσιν. Καὶ δῆτα κατὰ τὴν τῆς Πεντηκοστῆς ἡμέραν τοῦ παναγίου Πνεύματος αὐτοῖς ἐπιφοιτήσαντος μετ᾽ ἤχου καὶ πνοῆς βιαίας ἐν εἴδει πυρίνων γλωσσῶν, γνώσεως θείας καὶ σοφίας καὶ ἰσχύος ἀφάτου, θαυμάτων ἀνεπλήσθησαν· καὶ στομωθέντες οὕτω τοῖς θεουργικοῖς χαρίσμασι τοῦ παναγίου Πνεύματος οἱ θεῖοι τοῦ λόγου μύσται τε καὶ ἀπόστολοι ‖ πρὸς τὴν τοῦ Κυρίου διαγωγήν τε καὶ ἀποστολὴν φ. 106α
ἡτοιμάζοντο καὶ κλήροις τὰ τοῦ κόσμου διεμερίζοντο πέρατα καὶ σὺν προθυμίᾳ ἕκαστος τὸ λαχόθεν αὐτῷ ἐκ θεοῦ τοῦ κόσμου μέρος δεχόμενος πρὸς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπέραγνον μητέρα καὶ κυρίαν ἡμῶν Θεοτόκον ἀπήρχετο, ἐν Ἱερουσαλὴμ οὖσαν ἐν τῷ τοῦ ἠγαπημένου μαθητοῦ οἴκῳ καὶ παρθένου Ἰωάννου τοῦ Θεολόγου, ὅςτις ἄρα καὶ διηκόνει αὐτῇ ἐξυπηρετῶν τὰ χρειώδη μετὰ πλείστης προςοχῆς τε καὶ εὐλαβείας μέχρι τῆς πρὸς τὸν Κύριον καὶ υἱὸν αὐτῆς μεταστάσεως. Ἀπερχόμενος τοίνυν ἕκαστος πρὸς αὐτὴν καὶ πρηνὴς γενόμενος ἐπὶ γῆς προςεκύνει αὐτῇ μετὰ πολλοῦ τοῦ φόβου καὶ τρόμου καὶ σὺν δάκρυσι τὴν ἐκ τοῦ ‖ Κυρίου βοήθειαν διὰ τῶν αὐτῆς φ. 106β
θεοπειθῶν δεήσεων ἐξητεῖτο καὶ οὕτως ἐφοπλιζόμενος τῇ ἀμάχῳ καὶ κραταιᾷ δυνάμει τῆς εὐχῆς καὶ εὐλογίας αὐτῆς μετὰ χαρᾶς ὅ τι πλείστης πρὸς τὸν προκείμενον αὐτῷ τοῦ κηρύγματος προςεχώρει ἀγῶνα. Τότε δὴ τότε καὶ ὁ θειότατος καὶ πρωτόκλητος τῶν Ἀποστόλων Ἀνδρέας, καὶ πρότερον ἴσως συνήθης ὢν ἀεὶ πρὸς αὐτὴν ἀπέρχεσθαι μετὰ τοῦ ὁμαίμονος αὐτοῦ Πέτρου τοῦ κορυφαίου καὶ δουλικῶς αὐτὴν προςκυνεῖν καὶ τὰ εἰκότα σὺν εὐλαβείᾳ πλείστῃ διακονεῖν, μάλιστα δὲ μέλλων ἐν τῇ τοῦ κηρύγματος ἐξελθεῖν διακονίᾳ, τοῦτο σὺν πολλῷ τῷ περιόντι τῆς ψυχικῆς ζέσεως ἀπεργάζεται. Καὶ δὴ ἀπελθὼν πρὸς τὸν Ἀπόστολον καὶ εὐαγγελιστὴν Λουκᾶν, ὄντα καὶ αὐτὸν ἕνα τῶν ἑβδομήκοντα ‖ Ἀποστόλων καὶ τηνικαῦτα ἐν Ἱε- φ. 107α

1. θεομένου 4. διαπαντὸς 5. ἐξύψους 6 (καὶ κατωτέρω πολλαχοῦ). τὲ
7. δητὰ 20. πρηνὴς 33. εὐδομήκοντα

ρουσαλὴμ διατρίβοντα, διαπύρως ἐξαιτεῖ τὴν τῆς Θεομήτορος ἐκτυ-
πωθῆναι αὐτῷ ἐν σανίδι τινὶ παναγίαν μορφήν, ἵν' ὡς ἐφόδιον καὶ
ὅπλον ταύτην λαβὼν κραταιὸν πρὸς τὸν τοῦ κηρύγματος προσχωρήσῃ
ἀγῶνα. Τούτου δὲ γενομένου λαβὼν τὸ ἐκτύπωμα τῆς μορφῆς ὁ θεῖος
Ἀπόστολος πρὸς τὴν ὑπέραγνον ἄπεισι Θεοτόκον, καὶ πεσὼν ἐπὶ γῆς
προσεκύνει αὐτῇ καὶ μετὰ δακρύων τὴν αὐτῆς ἐπεζήτει εὐλογίαν τε
καὶ εὐχήν. Καὶ ἀνανεύσας βραχὺ ἐπέδειξεν αὐτῇ καὶ τὴν ἐγχαρα-
χθεῖσαν τῇ σανίδι σεβασμίαν αὐτῆς μορφήν, Ταύτην, λέγων, Κυρία
μου, φυλακτήριον ἀνελαβόμην ἐν τῇ ὁδῷ ἰσχυρόν. Ἡ δέ, ἐμβλέψασα
τῇ εἰκόνι καὶ σὺν χαρμονῇ ἐπιμειδιάσασα ψυχικῇ, ἔφη· Ἡ χάρις τοῦ
φ. 107β ἐξ ἐμοῦ τεχθέντος θεοῦ λόγου || εἴη μετὰ σοῦ. Ἤδη γὰρ ἔχεις με καὶ
αὐτὴν συνεργοῦσάν σοι πρὸς τὸ τῆς πίστεως κήρυγμα. Οὕτως δ' εἰ-
πούσης τῆς Θεομήτορος, ὁ Ἀπόστολος καὶ αὖθις πρηνὴς γενόμενος
καὶ σὺν δάκρυσι προσηκόντως εὐχαριστήσας, ἐξῆλθε χαίρων καὶ ἀγαλ-
λόμενος καί, τὸν τῆς ἀληθείας κηρύσσων λόγον, διῆλθε Μεσοποτα-
μίαν τῆς Συρίας καὶ Δαμασκόν, Καισάρειάν τε καὶ Καππαδόκειαν,
Ἰκόνιόν τε καὶ Ἄγκυραν τῆς Παμφυλίας. Νεοκαισάρειάν τε διελθών,
ἔφθασε μέχρι τῶν τῆς Ἰβηρίας λεγομένης ὁρίων.

Τίς δ' ἂν ἀρκούντως διηγήσαιτο τὰ ἐν τοῖσδε τοῖς τόποις, οἷς τὸν
λόγον τῆς ἀληθείας κατὰ πάροδον διαβαίνων ὁ θεῖος Ἀπόστολος ἐν-
έσπειρε γεγονότα θαύματα ὑπ' αὐτοῦ διὰ τῆς χάριτος τῆς ἐπιφερο-
φ. 108α μένης αὐτῷ θείας εἰκόνος || τῆς ἀχράντου Θεομήτορος; Ὅμως μέντοι
τὰ ἐν τῇ Ἰβηρίᾳ γεγονότα θαύματα, ἐκ τῶν πολλῶν ὀλίγα, ὡς ἐν
τύπῳ ἐπελθεῖν ἐπειγόμενοι, τἆλλα διὰ [τὸ] τοῦ λόγου παρίεμεν μῆ-
κος, τὴν βραχυλογίαν ἀσπαζόμενοι.

Ἀλλ' ἐπανακτέον τὸν λόγον καὶ τῆς ἐφεξῆς ἐχώμεθα διηγήσεως.
Ἐπεὶ δ' ἠκηκόει ὁ Ἀπόστολος ὡς τὸ ἐν Ἰβηρίᾳ τῶν ἀνθρώπων ἔθνος
λίαν ἀνήμερόν ἐστι καὶ αἱμοβόρον καὶ τῇ τῶν εἰδώλων πλάνῃ καὶ
ἀθείᾳ προσῳκειωμένον καὶ μάλιστα τῇ πυρσολατρείᾳ, πρὸς ἐκεῖνο τὸ
μέρος ἐξώρμησε καὶ ἐλθὼν ἔφθασεν ἐν τόπῳ λεγομένῳ Ἀτζαρᾷ, ἔνθα
ὁ Ἀπόστολος πολλοὺς καθυπέμεινεν πειρασμοὺς ὑπὸ τοῦ ἀτιθάσου τῶν

1-2. ἐκτυπωθεῖναι 2. σανίδη 6. μεταδακρύων 8. σανίδη
11. ἐξεμοῦ 12. συνεργοῦσαν 13. πρηνῆς 14. προσεικόντως
16. καισσάρειάν 17. ἰκόνιον ἄγγυραν 20. διηγήσετο
21. γεγονόντα 24. ἐπιγόμενοι τᾶλα τὸ λείπει 29. προσωκειομένον
31. ἀτιθάσσου.

ἐκεῖσε ἀνθρώπων δήμου. Ἀλλὰ τῇ τῶν θαυμάτων ἐνεργείᾳ καὶ δυνάμει καὶ τῇ τῆς εἰκόνος τῆς Θεομήτορος χάριτι τὸ ἀνήμερον ἐκεῖνο ἔθνος εἰς ἡμερότητα καὶ γαλήνην κατέστη. Τῇ γὰρ ‖ ἐν γῇ μόνῃ τῆς φ. 108ᵛ εἰκόνος καταθέσει πηγὴ ἀνεδόθη νάματος ἡδυτάτου καὶ ποτίμου, ἥτις καὶ μέχρι τοῦ νῦν ἔστι περισωζομένη, ἐν ᾗ πλείστους τε βαπτίσας καὶ ἰάσεις ἐπιτελέσας πολλάς, ναὸν ᾠκοδόμησε καὶ ἱερὸν ἐν αὐτοῖς καταστήσας ἔσπευδε μεταβῆναι. Οἱ δὲ οὐκ εἴων ὅλως αὐτόν, ἀλλ' ἐδέοντο αὐτοῦ θερμῶς συνεῖναι αὐτοῖς, εἰ δὲ μή, τὴν τῆς Θεομήτορος εἰκόνα καταλιπεῖν αὐτοῖς καὶ οὕτως ἀναχωρῆσαι. Ὁ δὲ ἴσην τῇ εἰκόνι ποιησάμενος σανίδα ἐπέθηκεν ἐπάνω τοῦ χαρακτῆρος τῆς μορφῆς τῆς Θεομήτορος, καὶ παραδόξως ὁ χαρακτὴρ ἐνετυπώθη τῇ σανίδι, ἣν περ ὡς θεῖόν τι χρῆμα οἱ πρόσοικοι λαβόντες τοῦ χώρου τὴν μετάβασιν ἀσμένως τῷ Ἀποστόλῳ παρεχώρησαν.

Ὁ δὲ διερχόμενος τὸν ἐφεξῆς τόπον καὶ τὸν τῆς ἀληθείας κηρύσσων λόγον κατήντησε μέχρι πόλεως λεγομένης Ἀσγορίου. Ἐν ταύτῃ δέ τις ἐπίσημος οὖσα γυνὴ χήρα, ᾗ ὄνομα Σαμψουάρα, ἥτις εἶχεν υἱόν, καὶ αὐτὸς ἐν ἀσθενείᾳ πολυχρο‖νίῳ δαπανηθεὶς ἐτελεύτησε καὶ φ. 109ʳ πένθος ἦν μέγα γινόμενον ἐπ' αὐτόν. Τοῦ οὖν Ἀποστόλου ἐν τῇδε τῇ πολιτείᾳ τὸν τῆς ἀληθείας ἐφαπλοῦντος λόγον καὶ τοὺς μὲν πειθομένους καὶ τῇ πίστει προσερχομένους ἰάσεις τε καὶ χαρίσματα πνευματικὰ λαμβάνειν τῇ ἐπιθέσει τῶν χειρῶν αὐτοῦ, τοὺς δὲ μὴ πειθομένους τοῖς σφῶν πάθεσι παραχωροῦντος φθείρεσθαι, κἀντεῦθεν ἦν ἰδεῖν παράδοξόν τε καὶ ἐξαίσιον θέαμα, τοὺς μὲν ἐν νόσοις κειμένους εἰς ὑγίειαν τελείαν τῇ πίστει μετατίθεσθαι, τοὺς δ' ἀπιστίᾳ συνεχομένους εἰς δαιμονιώδη ἀποκρημνίζεσθαι νόσον. Τούτων δὲ οὕτως ἐχόντων, ἀνηνέχθη τῇ Σαμψουάρᾳ τὰ κατὰ τὸν θεῖον Ἀπόστολον. Ἡ δὲ διὰ τάχους αὐτὸν μετακαλεσαμένη· Πόθεν, ἔφη, ἄνθρωπε, παραγέγονας καὶ τί σου τὸ ὄνομα καὶ ἐπιτήδευμα, καὶ διὰ τί πρὸς ἡμᾶς παραγέγονας, ἀλλοεθνεῖς ὄντας καὶ πολλοῖς ἀθανάτοις θεοῖς προσανέ‖χοντας, φ. 109ᵛ Κρόνῳ τε καὶ Διὶ καὶ Ἄρει, Ἡλίῳ τε καὶ Ἀφροδίτῃ καὶ Ἑρμῇ καὶ Ἑκάτῃ καὶ τοῖς λοιποῖς χθονίοις; Ὁ δὲ ἐξ Ἱεροσολύμων τυγχάνειν ἔφη, Ἰουδαῖόν τε τὸ γένος, Χριστιανὸν δὲ τὴν θρησκείαν καὶ

3. γαλήνη 5. ἔστιν 7. οὐκείων 10. σανίδι 12. θεῖον τί 16. γηνὴ 17. πολυχρο‖χρονίῳ 23. ἐνόσεις κιμένους 24. ὑγίαν ἀπιστεία 27. διατί 32. ἰουδαῖον τὲ

Ε.Υ.Ζ.Τ.Ε.Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

δοῦλον καὶ μαθητὴν καὶ ἀπόστολον Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ νεύματι μόνῳ τοὺς νεκροὺς ἀνιστῶντος, μηδὲν δ' ἄλλο εἰδότα, ὅτι μὴ μόνον τὰ πάθη τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρεύειν τῇ ἐπικλήσει καὶ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῶν προςερχομένων ὁλοψύχως αὐτῷ καὶ βαπτιζομένων εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τούτων οὖν ὡς ἐν συντόμῳ τῶν λόγων ἀκούσασα Σαμψουάρα, φησίν· Εἴπερ δοῦλος ὑπάρχεις τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς Ἰησοῦ Χριστοῦ, ἐλέησόν με τὴν ἀθλίαν καὶ ἀνάστησόν μου τὸν παῖδα, ἐπ' αὐτὸν καὶ μόνον τὰς ἐλπίδας σαλεύουσαν. Ἀλλ' ἐὰν πιστεύσῃς, ὁ Ἀπόστολος ἔφη, αὐτοῦ
φ. 110r τῷ ὀνόματι, πάντα δυνατὰ τῷ πιστεύοντι. || Ἡ δὲ κατὰ τὸν πάλαι Ἰάειρον σὺν δάκρυσιν ἐξεβόησε· Πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ. Τότε ὁ θεῖος Ἀπόστολος τὴν τῆς πανάγνου Θεομήτορος εἰκόνα ἐπιφερόμενος καὶ ἐπιθεὶς ἐπάνω τοῦ τεθνεῶτος καὶ ἐπευξάμενος, εἰς οὐρανὸν ἀτενίσας τὸ ὄμμα, ἑστὼς ἦν ἐφ' ἱκανὴν ὥραν· καὶ ἱσταμένου οὕτω καὶ προσευχομένου, ὁ νεκρὸς ἐγερθεὶς ἀνεκάθισε, καὶ πάντες ἐπὶ τῷ παραδόξῳ τούτῳ ἐξέστησαν θεάματι.

Εὐθὺς οὖν ἡ μήτηρ τοῦ ἐγερθέντος Σαμψουάρα, τοῖς ποσὶ προςπεσοῦσα τοῦ Ἀποστόλου καὶ ἡδέως καταφιλοῦσα σὺν δάκρυσιν, ηὐχαρίστει τῷ τῶν ὅλων θεῷ Ἰησοῦ Χριστῷ, τῷ σωτῆρι· καὶ πιστεύσασα ὁλοψύχως ἐβαπτίσθη αὐτή τε καὶ ὁ υἱὸς αὐτῆς παραυτίκα, καὶ σὺν αὐτοῖς ἅπαν τὸ τῆς πόλεως πλῆθος. Εἶχον δὲ καὶ ναὸν εἰδωλικὸν Ἀπόλλωνός τε καὶ Ἀρτέμιδος· οἱ δὲ ἱερεῖς τῶν τοιούτων εἰδώλων
φ. 110v πολλοὺς τῷ Ἀποστόλῳ πειρασμοὺς ἐνεποίουν καὶ τὸ πλῆθος || τῶν ἀνθρώπων ἀνέσειον κατ' αὐτοῦ. Ὁ δὲ Ἀπόστολος πρὸς αὐτοὺς ἔφη· Θέλετε ἵνα ἴδητε τήν τε ἰσχὺν τοῦ ἀπ' ἐμοῦ κηρυττομένου θεοῦ καὶ τὴν τῶν ὑμετέρων ψευδωνύμων θεῶν ἀσθένειαν; Ἀνοιχθήτω ὁ ναὸς οὗτος· καὶ ἱσταμένων τῶν εἰδώλων, τῶν ὑμετέρων δῆλα δὴ θεῶν, εἰςενέγκω κἀγὼ ἔνδον τήνδε τὴν τῆς Θεομήτορος εἰκόνα. Καὶ κλείσαντες ἀσφαλῶς τὰς τοῦ ναοῦ θύρας, ἴδωμεν ἐπὶ τῇ αὔριον ἀνοίξαντες τὸ γενησόμενον. Τοῦτο δὲ φανὲν ἀρεστὸν πᾶσι γέγονε. Καὶ τῇ ἐπαύριον, τῶν τοῦ ναοῦ πυλῶν ἀναπετασθεισῶν, εὕρηται ἡ μὲν εἰκὼν

7. εἶπερ  11. τὸ  15. ἐφικανὴν ὤραν  21. ἐβαπτίστη αὐτῆ  23. ἀπόλωνός  26. κυρυττομένου  27. ψευδονύμων  28. δηλαδὴ  29. καγὼ

τῆς πανάγνου Θεοτόκου ἱσταμένη καὶ ἀστράπτουσα ὡς τὸ ἡλιακὸν φῶς, τὰ δὲ εἴδωλα ἐπὶ τῆς γῆς συντετριμμένα εἰς λεπτά. Καὶ οὕτω πάντες μιᾷ φωνῇ Μέγας ὁ τῶν Χριστιανῶν θεὸς ἐξεβόησαν· καὶ εὐθὺς τὰ τῶν εἰδώλων συντρίμματα ῥίψαντες ἔξω τοῦ ναοῦ καὶ τέμενος θεοῦ καὶ ἐκκλησίαν πεποιηκότες, ἐδοξολόγουν ἐν αὐτῇ τὸν τῶν ὅλων θεὸν Ἰησοῦν Χριστόν. Καὶ ‖ φ. 111α ἦν ἰδεῖν χαρὰν μεγάλην καὶ ἀνεκλάλητον γινομένην ὑπὸ παντὸς τοῦ πλήθους ἐπί τε τῇ τοῦ υἱοῦ τῆς Σαμψουάρας ἐγέρσει καὶ τῇ μεταθέσει τῆς πίστεως ἀπὸ τῆς τῶν εἰδώλων πλάνης καὶ πυρσολατρείας ἐπὶ τὸν ὄντως ὄντα θεὸν τὸν καὶ νεκροῖς αὐτοῖς ζωὴν ἐμπνέοντα μόνῳ τῷ νεύματι.

Τοῦ οὖν Ἀποστόλου μετὰ ταῦτα ἐπειγομένου μεταβῆναι καὶ τῆς ὁδοῦ τοῦ κηρύγματος ἔχεσθαι, ἡ Σαμψουάρα σὺν παντὶ τῷ πλήθει τῶν πεπιστευκότων πολλαῖς δεήσεσι παρακατέσχον αὐτὸν ἐπί τινα καιρὸν τῆς αὐτοῦ ἐπαπολαῦσαι ψυχωφελοῦς διδαχῆς. Ἐπίσκοπον τοίνυν καταστήσας καὶ ἱερεῖς καὶ κλῆρον ἐκκλησίας εἰς δόξαν θεοῦ πρὸς ὁδὸν αὖθις ἐτράπετο. Ἡ δὲ Σαμψουάρα σὺν τῷ υἱῷ καὶ τῷ ἐπιλέκτῳ πλήθει παντὶ τοῖς ποσὶ προςπεσοῦσα, θερμῶς ἔκειτο δεομένη τὴν τῆς Θεομήτορος αὐτοῖς δωρηθῆναι σεβασμίαν εἰκόνα, ἵν' ἐν τῷ ῥηθέντι εἴη ναῷ ‖ φ. 111β καὶ ἔχοιεν εἰς φυλακτήριον καὶ ἁγιασμὸν ψυχῶν τε καὶ σωμάτων. Καὶ γοῦν ταῖς αὐτῶν παρακληθεὶς δεήσεσι, δέδωκε μέν, πλὴν καὶ αὖθις ἑτέραν κατασκευασάμενος σανίδα, ἰσομήκη τε καὶ ἰσόπλατον, ἐπέθηκεν ἐπάνω, καθάπερ ἐν τῷ Ἀτζαρῷ πεποιήκει. Καὶ αὖθις παραδόξως τῆς μορφῆς ἐντυπωθείσης τῇ σανίδι, τὸ μὲν πρωτότυπον δέδωκεν αὐτοῖς, ὡς εἴρηται, ἐναπομεῖναν τῷ Ἀσγορίῳ, ὅπερ καὶ μέχρι τοῦ νῦν αὐτόσε μένει προςκυνούμενον, τὸ δὲ νεογνὸν ἐκτύπωμα ὁ Ἀπόστολος λαβὼν ἀπήρχετο. Ἀλλὰ καὶ τούτου τοῦ θείου ἐκτυπώματος τῆς πανάγνου Θεομήτορος τὸν ἐφεξῆς διερχομένου τόπον καὶ τὸ τῆς σωτηρίας κήρυγμα πᾶσιν ἐξαπλοῦντος, πολλοὶ προςῆλθον τῇ πίστει καὶ τὸ θεῖον ὑπ' αὐτοῦ λαβόντες βάπτισμα καὶ κλῆρος γεγονότες θεῖος θερμῶς αὐτοῦ ἐδεήθησαν, ἵνα τοῦτο αὐτοῖς δωρήσηται. Καὶ μέντοι ‖ φ. 112α δεδώρηται αὐτοῖς, καί, ὥς φασί τινες, τὸ εἰσέτι καὶ νῦν περισωζόμενον ἐν τῇ τοῦ Σαπερτίου μονῇ ὑπάρχει.

1. ἡλικὸν 5. ταυτῆ 11. ἐπιγομένου 12. κηρίγματος 14. ψυχωφελοὺς 21. ἰσομίκη 23. ἐτυπωθείσης σανίδη 26-27. τοῦτο τὸ θεῖον ἐκτύπωμα 28. κήριγμα

Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὁ θεῖος τοιγαροῦν Ἀπόστολος, καταβὰς ἐς Βαθὺ λεγόμενον, ἔνθα λιμήν ἐστι, διεπέρασε πρὸς Σεβαστούπολιν, καί, τὸν τῆς ἀληθείας κηρύσσων λόγον, διῆλθε Μεγκρελλίαν τε καὶ Ἀβγαζίαν καὶ Σαυροματίαν, Σουγδαίαν τε καὶ Γοτθίαν, καί, τὸ ἕτερον μέρος τοῦ Πόντου διελθών, κατήντησεν εἰς Βυζάντιον, ἐν ᾧ, Στάχυν καταστήσας ἐπίσκοπον, ἕνα τῶν ἑβδομήκοντα ἀποστόλων, ἀπῆλθεν εἰς Ἡράκλειαν Θρᾴκης. Κἀκεῖσε Ἀπελλῆ χειροτονήσας ἐπίσκοπον, ἕνα ὄντα καὶ αὐτὸν τῶν ἑβδομήκοντα, διῆλθε Ῥωμανίαν ἅπασαν καὶ κατήντησεν εἰς Πελοπόννησον. Ἐν Πάτραις δὲ τῆς Ἀχαΐας ὑπὸ Αἰγεάτου ἀνθυπάτου κύμβαχος σταυρωθεὶς τελειοῦται. Καὶ οὕτω μὲν ἐν συνόψει τὰ κατὰ τὸν θεῖον Ἀπόστολον.

φ 112ν Περὶ δὲ τῆς σεβασμίας εἰκόνος τῆς Θεομήτορος, τῆς ἐναπομει||νάσης τῷ Ἀσγορίῳ καὶ τῶν ὑπ' αὐτῆς γεγονότων θαυμάτων ὁ λόγος δηλώσων ἔρχεται. Ἦν τοίνυν ἡ σεβασμία εἰκὼν αὕτη ἐν Ἀσγορίῳ ἐν τῷ προλεχθέντι μικρῷ εὐκτηρίῳ τῷ ἐξ εἰδωλίου μεταβληθέντι εἰς ναὸν θεοῦ, τοῖς προσιοῦσι πᾶσιν ἐν πίστει ἀφθόνως ἰάσεις νέμουσα καὶ τὰ αἰτήματα πᾶσι δαψιλῶς ἀποπληροῦσα. Καιροῦ δὲ παρῳχηκότος πολλοῦ καὶ τῶν πλειόνων ἐγκρίτων πιστῶν πρὸς τὰς φωτεινὰς καὶ αἰωνίους μετακεχωρηκότων σκηνὰς καὶ μηδενὸς σχεδὸν ὑπολελειμμένου τοῦ τῆς εὐσεβείας ὑπερασπίζοντος, ἤρξατο κατ' ὀλίγον ἐκλείπειν ἡ πίστις· καὶ τοὺς μὲν εὐσεβεῖς εἰς ὀλιγότητα συνωθεῖσθαι παντάπασι, τοὺς δὲ τὴν ἀσέβειαν νοσοῦντας εἰς πλῆθος φεῦ ἐπεκτείνεσθαι, τὴν παλαιὰν πυρσολατρείαν καὶ εἰδωλομανίαν ἀνακινοῦντας. Ὅθεν δῆτα καὶ σχεδὸν παντελῶς ἐν τῇ λεγομένῃ κάτω Ἰβηρίᾳ τῆς πίστεως φ 113α ἐκλελοιπυίας, ἀνέστη βασιλεύς τις ἐν αὐτῇ Μοίρανις ὄνομα || εἰδωλικὴν νοσῶν ἀθεότητα καὶ πάντας τοὺς ὑπ' αὐτὸν πρὸς ἀπώλειαν συνωθῶν. Ἀλλ' ὁ διὰ τῶν μικρῶν καὶ εὐτελῶν ἔργα μεγάλα τε καὶ λαμπρὰ κατασκευάζων θεὸς οὐκ ἀφῆκεν ἐπὶ πολὺ τὴν τοιαύτην εἰδωλικὴν ἐπιδοθῆναι ἀθεότητα· ἀλλὰ τῇ αὐτοῦ ὁδηγίᾳ Νίνα τις γυνὴ ἐναρέτῳ πολιτείᾳ καὶ βίῳ ἰσαγγέλῳ λαμπρυνομένη ἐλθοῦσα τὸν τῆς ἀληθείας λόγον γυμνῇ τῇ κεφαλῇ ἀνεκήρυττε καὶ τὸν βασιλέα Μοι-

2. λιμὴν ἐστὶ σεβαστόπολιν 3. κυρύσσων αὐγαζίαν 3-4. σαυρωματίαν 7. κακεῖσε 9. πολοπόννησον 10. κέμβαχος 15. ἐξειδωλίου 17. Καίρου 18. φωτινὰς 19. μετακεχωρικότων (η) 21. συνωθοῦσθαι 24. ἰβειρία 25. ἐκλελειπηίας 26-27. συνοθῶν 29. νινά

ρανιν πολλοῖς ἐλέγξασα λόγοις κατῄσχυνε, καὶ νουθετικῶς κατηχήσασα ἐβάπτισε, καὶ φωτισμοῦ ἅπαντα τὸν οἶκον αὐτοῦ ἐνέπλησεν καὶ πάλιν ἀναλάμψαι τὴν θεοσέβειαν ἐν ὅλῳ τῷ ἐκεῖσε κατέστησε χώρῳ. Ἀμέλει καὶ πρὸς τὴν τῶν πόλεων βασιλίδα, τὴν Κωνσταντίνου φημί, διαμηνυσάσης καὶ δῆλα τὰ παρακολουθήσαντα ποιησάσης τῆς τοιαύτης θεοφιλοῦς γυναικός, ἐπίσκοπον βίῳ καὶ λόγῳ λαμπρῷ κεκοσμημένον ἐλθεῖν λέγεται. Καὶ οὗτος ἐλθὼν θείᾳ συνάρσει αὖ‖θις φ. 113ᵛ ἀναλάμψαι τὴν εὐσέβειαν παρεσκεύασε [κ]αὶ πλατυνθῆναι ἐπιεικῶς. Ἀλλ' ὁ τοῖς ἀγαθοῖς βασκαίνων διάβολος, ἐνταυθοῖ καταισχυνθείς, τί προϊόντος ἐδολιεύσατο τοῦ καιροῦ ὁ λίαν παμπόνηρος; Τὸν παμμίαρον ἀνεγείρας Μωάμεθ, τοὺς ἀνθρώπους εἰς παντοίαν φιληδονίαν προτρεπόμενον καὶ ἐλευθερίαν τῶν ἀκαθάρτων παθῶν καὶ ἀδηφαγίαν παντοδαπῆ, τὸ κατ' αὐτὸν μυσαρὸν ἔθνος εἰς πλῆθος ἄγαν ἐπαυξηθῆναι ἐποίησε πανουργότατα. Εἴωθε γὰρ ὡς τὰ πολλὰ τὸ τῶν ἀνθρώπων γένος πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς εὐκόλως ὑποσύρεσθαι καὶ πρὸς ἐλευθερίαν ἀκρατῶς παντοίων βρωμάτων καὶ παθῶν κατακρημνίζεσθαι συντομώτατα, καὶ μάλιστα ὁπόταν καὶ νόμον δῆθεν εὕροι τούτοις συνηγοροῦντα καὶ παντελῶς τὰς ἡνίας χαλῶντα τοῖς λαοῖς, καθάπερ ὁ βδελυρὸς οὗτος πεποίηκεν καὶ πολλαῖς χρῆσθαι γυναιξὶν ἀκορέστως νενομοθέτηκε καὶ πᾶσαν καὶ παντοίαν βλακείαν ἀνεμπο‖δίστως φ. 114ʳ μετέρχεσθαι καὶ συλλήβδην τὰ τῆς αἰσχύνης ἅπαντα ἔργα καὶ πέρα τῆς τῶν ἀνθρώπων ἁπλῶς νομοθεσίας, ὡς καὶ περὶ αὐτοῦ Ἡσαΐας ἐν τῇ τῶν νηστειῶν τρίτῃ τῆς ἑβδομάδος τρίτης πρωῒ φησί Καὶ προφήτην διδάσκοντα τὰ ἄνομα· οὗτος ἡ οὐρά· τελευταῖος γὰρ πλάνος οὗτος ἀνεφάνη ὁ δυσσεβής. Τὸ κατ' αὐτὸν οὖν ἐναγὲς πλῆθος, ὅμορόν που τυγχάνον, κατὰ τοῦ χώρου ἐξώρμησε τῶν πιστῶν, καί, ἐπελθὸν τῇ Ἰβηρίᾳ, πολλοὺς τῶν Χριστιανῶν ᾐχμαλώτισε καὶ πλείστους ἐρήμους κατέστησε τόπους. Τότε δὲ καὶ τὸ Ἀσγόριον ἐπελθόντες οἱ τοιοῦτοι βάρβαροι ἐλεηλάτησαν καὶ τοὺς ἐν αὐτῷ Χριστιανοὺς καὶ αὐτὴν τὴν τῆς Θεομήτορος εἰκόνα αἰχμαλωτεύσαντες εἰς τὴν ἑαυτῶν ἀπήγαγον γῆν.

Ἐν χρόνοις οὖν ἑπτὰ οὔσης τῆς σεβασμίας εἰκόνος ἐν τῇ αἰχμα-

4. πῶς 6. τῆαύτης θεοφιλοῦς 8. Ἐνταῦθα καὶ κατωτέρω λείπει ἐνίοτε τὸ ἀρχικὸν κ τῆς λέξεως καί, ὅπερ ἔμελλε νὰ γραφῇ ἐρυθρόν, ἀλλ' ἠμελήθη. 12. ἀδδηφαγίαν 14. ταπολλὰ 19. ὁ βδελλυρὸς 22. ἐνομοθεσίας 24. ἡουρά 25. δυσεβὴς ὁμμορόν 26. εξώρμησε 27. ἠχμαλώτησε 31. οὔσης

λωσίᾳ, ἐν μὲν τῷ Ἀσγορίῳ, ἔνθα τὸ πρότερον ἦν, ζοφώδης τις ὁμίχλη ἐπιπεσοῦσα τὸν τόπον κατεκάλυπτεν ἅπαντα καὶ συνοχὴν θλί-
114β ψεως ἐνεποίει τοῖς προςοίκοις. Ὅθεν ‖ καὶ πολλοὶ φυγόντες εἰς τὴν κάτω ἀπεληλύθεισαν Ἰβηρίαν, ἐν τῷ τόπῳ δὲ τῶν αἰχμαλωτισάντων στείρωσις κατέσχε δεινὴ ἅπαν θῆλυ τῶν ζῴων, καὶ οὐδὲν ἐν τοῖς ἑπτὰ ἐκείνοις ἔτεσιν εὕρηται τετοκέναι· διὸ καὶ ἀθυμίᾳ πολλῇ συνείχοντο ἅπαντες, καὶ, λύσιν τῆς τοιαύτης ἐπιζητοῦντες στειρώσεως καὶ στοχαστικῶς ἀνερευνῶντες, οὐδεμίαν τὸ σύνολον εὕρισκον τοῦ λυποῦντος ἀπαλλαγήν· ἔνθεν τοι καὶ ἐν ταὐτῷ συναχθέντων ἁπάντων καὶ πρὸς ἀλλήλους περὶ τούτου συζητούντων καὶ συνδιασκεπτομένων, εἷς ἐξ αὐτῶν παραστὰς ἔφη· Οὐκ ἄλλοθεν, ὦ φίλοι, ὡς ἔγωγε νομίζω, ἡ τῶν ζῴων ἡμῖν ἀτοκία συνέβη γενέσθαι ἢ ἐκ τοῦ τὴν εἰκόνα αἰχμαλωτίσαι [κ]αὶ ἐνεγκεῖν ἐνταῦθα, ἣν οἱ Χριστιανοὶ προςκυνεῖν εἰώθασιν, ἐπεὶ πολλὰ ὅμοια ἔξω φύσεως θαύματα ἐνεργοῦσιν τὰ τοιαῦτα ἐκτυπώματα. Καί, εἰ θέλετε γνῶναι εἴ περ ὡς λέγω τὸ πρᾶγμα ἔχει, δεῦτε
115α ἐνέγκωμεν πῶλόν τινα τῶν εὐγενῶν ἵππων, καὶ ἐν ‖ αὐτῷ ἐπιθέντες τὴν εἰκόνα καὶ προςδήσαντες ἀσφαλῶς, ἐπαφῶμεν οὕτω κατὰ πεδίου καὶ ἴδωμεν ὅποι ἂν ὁ πῶλος ἀπέρχεσθαι ἐξορμήσειε. Πάντων δὲ πρὸς τοῦτο σὺν προθυμίᾳ ὁμοφωνησάντων, καί, ἐπιθέντες τὴν εἰκόνα ἑνὶ πώλῳ, ἐπιτηδείως προςδήσαντες, ἐπαφῆκαν οὕτω, καὶ ὁ ἵππος πρὸς τὰ τῆς Ἰβηρίας μέρη ὀξυτάτῳ ἀπέτρεχε τῷ κινήματι· σὺν αὐτῷ δὲ καὶ ἕτεροι πλεῖστοι συνηκολουθήκεισαν ἵπποι. Οἱ δέ, ἐκπλήξει καὶ θαύματι συνεχόμενοι, ἐπὶ τὸ ὁρώμενον καὶ τὴν τοῦ λυποῦντος μόνην ἐπιθυμοῦντες ἀπαλλαγὴν οὐδεμίαν περὶ τῶν ἵππων ἐποιοῦντο φροντίδα. Ἐλθόντος οὖν τοῦ πώλου μετὰ καὶ τῶν ἑτέρων ἵππων εἰς τόπον λεγόμενον Ἕλας, ἀντικρὺ Ἀσγορίου, ὢ θαύματος παραδόξου, ἡ ἐπιπολάζουσα καὶ λιμνάζουσα ἐκεῖσε ζοφώδης ὁμίχλη ἐν ἔτεσιν ἑπτά, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, εὐθὺς διασκεδασθεῖσα ἠφανίσθη παντά-
115β πασι καὶ φωτὸς καὶ λαμπηδόνων ‖ ἐκεῖνος ἅπας ὁ τόπος πεπλήρωται ἡλιακῶν. Οἱ δὲ τὸν τόπον οἰκοῦντες ἄνθρωποι, τὸ γεγονὸς κατιδόντες καὶ τὸν θεὸν μεγάλῃ τῇ φωνῇ ὁλοψύχως δοξάσαντες, πρὸς τοὺς ὁρω-

1. τίς 5. δεινῆ 6. ἔτεσι 9. ἀπαλαγήν· ἐνθέντοι ἐνταυτῶ 11. ἄλοθεν 13. ἣν 15. εἴπερ πράγμα 16. πώλόν 18. πώλος 20. ἐπαφῆκεν 22. συνηκολουθείκεισαν 24. ἀπαλαγὴν 26. ῶ 27. ζοφώδη ὁμίχλη. Ἴδε δασυνομένην τὴν λέξιν ὁμίχλη ἀνωτέρω στ. 1 καὶ σ. 419, 10, 30, 32. ἐνέτεσιν 28. ἐδήλωσεν 31. δοξάσαντες

μένους ἀπέτρεχον ἵππους. Ἐλθόντες δὲ καὶ τὴν τῆς Θεομήτορος κατιδόντες εἰκόνα ἐπάνω προςδεδεμένην τοῦ πώλου, ἐκστάσει συνεσχέθησαν καὶ ἀφωνίᾳ πολλῇ ἐφ᾽ ἱκανὴν ὥραν· ἔπειτα δέ, τερατουργίαν εἶναι κατανοήσαντες τῆς Θεομήτορος τὸ γενόμενον, χαρᾷ καὶ ἀγαλλιάσει συμμίκτῳ τοῖς δάκρυσιν ἐπεφώνουν αὐτῇ· Καλῶς ἥκεις, ἡ κυρία ἡμῶν καὶ δέσποινα, πρὸς ἡμᾶς τοὺς ἐν ὀρφανίᾳ καὶ πολλῇ ταλαιπωρίᾳ συζῶντας οἰκέτας σου ἐν ἑπτὰ ἤδη ἔτεσι, σὺ παντάνασσα, ἡ τοῦ ἀενάου καὶ ἀπροςίτου φωτὸς μήτηρ ἐκ τῆς αἰχμαλωσίας παραδόξως ἐπιδημήσασα νῦν, τὴν κατακαλύπτουσαν ἡμᾶς ζοφώδη τε καὶ νοσώδη καὶ λυπηρὰν διέλυσας ὁμίχλην καὶ ‖ τὴν τῶν ψυχῶν ἡμῶν ἀθυ- φ. 116r
μίαν διεσκέδασας. Ταῦτα δὴ καὶ ὅμοια τούτοις πλεῖστα μετὰ δακρύων καὶ χαρᾶς πολλῆς τῆς τοῦ θεοῦ λόγου προςφωνούντων μητρός, ἅπαν τὸ τῶν ἀνθρώπων πλῆθος ἐξορμῆσαν ἐπέτρεχεν ὅσον τε τοῦ ἱεροῦ καταλόγου καὶ τοῦ λαοῦ, καὶ μετὰ φώτων ἀπείρων καὶ θυμιαμάτων καὶ ὕμνων προςυπαντῶντες πολλῶν σὺν δάκρυσι κατησπάζοντο καὶ μετὰ πλείστης δορυφορίας καὶ λαμπρότητος εἰς τὸν ναὸν εἰςήγαγον, ἐν ᾧ τὸ πρότερον ἦν καὶ μέχρι δὲ τοῦ νῦν ἐν αὐτῷ ἐστιν, ὃν ὁ ἀοίδιμος ἐν βασιλεῦσιν Ἡράκλειος καὶ αὐτοκράτωρ Ῥωμαίων, κατὰ Περσῶν ἀπερχόμενος τῶν ἀθέων, μικρὸν ὄντα τὸ πρότερον, ὡς εἴπομεν, ἐκ βάθρων αὐτῶν τῇ τοῦ Κυρίου μητρὶ ὡς θεῖον δῶρον καὶ ἐπινίκιον φιλοτίμως ἀνήγειρεν, εἰς κάλλος τε καὶ μέγεθος ἀξιόλογον ὄντα καὶ μέχρι τῆς σήμερον καθορώμενον. Ἀλλὰ καὶ ἐγχώριός τις το‖πάρ- φ. 116v
χης καὶ αὐτὸς εἰς τὴν τοῦ ναοῦ τοῦδε ἀνόρθωσίν τε καὶ καλλωπισμὸν τὰ δυνατὰ συνεβάλετο. Πολλοὶ δὲ ἀσθενεῖς τε καὶ ἄρρωστοι, τῇ σεβασμίᾳ τῆς Θεομήτορος προςελθόντες εἰκόνι, τὴν ἴασίν τε καὶ ῥῶσιν εὐθὺς ἀπέλαβον. Καὶ ἄλλα δὲ πάμπολλα τηνικαῦτα ὑπ᾽ αὐτῆς γεγόνασι θαύματα, καὶ μέχρι τοῦ νῦν οὐ διαλείπει ἐνεργοῦσα τοῖς ἐν πίστει προςερχομένοις αὐτῇ.

Οἱ οὖν ἀπεληλυθότες πρὸς τὴν Ἰβηρίαν τὴν κάτω, ὡς ἔφθημεν εἰπόντες, διὰ τὴν ἐπισυμβᾶσαν τῷ τόπῳ ζοφώδη τε καὶ νοσώδη ὁμίχλην, ἀκηκοότες τήν τε παράδοξον τῆς σεβασμίας τῆς Θεομήτορος εἰκόνος ἐπάνοδον καὶ τῆς τοιαύτης ζοφώδους καὶ λυπηρᾶς ὁμίχλης

2. πόλου 3. ἐφικανὴν ὥραν 4. χαρὰ 5. συμμήκτῳ 8. ἀενάου 9-10 (καὶ 30). νοσόδη 18. ἀοίδημος 22. ἐχώριός 24. ἄρωστοι 26. τηνικαῦτα

τελείαν διασκέδασίν τε καὶ διάλυσιν καὶ τὸν θεὸν ὁλοψύχως δοξάσαντες, σὺν προθυμίᾳ πολλῇ πρὸς ἐπάνοδον ἐκινήθησαν. Ὁ δὲ τοῦ
φ. 117α τοιούτου κρατῶν || τόπου, στρατὸν οὐκ ὀλίγον μεθ' ὅπλων κατόπιν αὐτῶν ἐξαποστείλας, παρακατέχειν αὐτοὺς ἐβιάζετο, καὶ οὐδόλως συνεχώρει αὐτοῖς τὴν ἐπάνοδον. Διὸ καὶ πολέμου ῥαγέντος ἰσχυροῦ μέσον, κατὰ κράτος νενίκηνται οἱ κωλύοντες καὶ σχεδὸν οὐδεὶς ἢ πάνυ ὀλίγοι πρὸς τὸν ἐξαποστείλαντα αὐτοὺς ὑπέστρεψαν κατὰ τοὺς πάλαι Αἰγυπτίους, τὴν ἔξοδον μὴ συγχωροῦντας τῷ Ἰσραηλίτῃ λαῷ. Οἱ δέ, ὕμνον ἐξᾴδοντες τῇ Θεομήτορι ἐπινίκιον, μετὰ χαρᾶς εἰς τὸ Ἀσγόριον ἐπανῆλθον καὶ τῇ σεβασμίᾳ εἰκόνι σὺν χαρμοσύνῃ πολλῇ προσεκύνουν καὶ τὰς σωστικὰς ἀνωμολόγουν χάριτας αὐτῇ.

Ἤδη δὲ καιρός ἐστιν, ὅπως καὶ τὴν ἐς ὕστερον καὶ σχεδὸν ὀλίγον πρότερον τῶν ἡμετέρων ἡμερῶν γεγενημένην αὖθις ἅλωσιν τῆς τε πόλεως Ἀσγορίου καὶ αὐτῆς τῆς σεβασμίας καὶ προσκυνητῆς εἰκόνος
φ. 117β ὁ λόγος δηλώσῃ. Τοῦ γὰρ τῆς Περσίδος || ἁπάσης κρατοῦντος Γιαγούπη τοῦ ἀθεωτάτου ἐκείνου, σὺν ἀναριθμήτῳ πλήθει κατὰ τῶν ἐν τῇ Ἰβηρίᾳ Χριστιανῶν κινηθέντος, ὁ ἀοίδιμος καὶ μακαρίᾳ τῇ λήξει γεγονὼς ὀρθοδοξότατός τε καὶ εὐσεβέστατος αὐθέντης Γοργορᾶς καὶ τῷ ὄντι συνετώτατος τηνικαῦτα ἡγεμὼν καὶ αὐτοκράτωρ ὑπάρχων τῆς ἐπάνω Ἰβηρίας ἁπάσης, συνδιασκεψάμενος μετὰ τῶν δύο αὐθεντῶν, τῶν υἱῶν αὐτοῦ τῶν θαυμασίων, τοῦ τε ἀοιδίμου Καϋχόστρου ἐκείνου καὶ Ἰωάννου Μυρζετζαμπούκη, ὃς καὶ μέχρι τοῦ [νῦν] ἐστιν ἀρετῇ παντοίᾳ συζῶν καὶ παρθενίᾳ καὶ ἀνδρίᾳ καὶ ἑτέροις πολλοῖς προτερήμασι, τοὺς μὲν ἀνθρώπους μετὰ τῶν ὑπαρχόντων αὐτοῖς τοὺς ὑψηλοτέρους καὶ δυσβάτους καταλαβεῖν προσέταξε τόπους, ὡς μηδεμίαν ἐπιβουλὴν σχῶσιν παρὰ τῶν ἐχθρῶν· ἑαυτὸν δὲ μετὰ τῶν εἰρημένων δύο υἱῶν αὐτοῦ τῶν ἐκλεκτῶν καὶ θαυμασίων μετὰ τοῦ συν-
φ. 118α όντος || αὐτοῖς φωσσάτου ἐν ὀρεινῷ καὶ λίαν συνηρεφεῖ διάγειν ἔκρινε τόπῳ καὶ τῶν ἐχθρῶν κατασκοπεύειν τὴν κίνησιν. Διὸ καὶ τὸ Ἀσγόριον ἐπεὶ ἀκρόπολιν ἔτυχεν ἔχον ὑψηλήν τε καὶ πετρώδη καὶ τοῖς

2. συν ἐπάνοδο 5. συνεχῶροι ῥαγέτος 6. οὐδῆς 7. ἀἐξαποστείλαντα 8. δε 9. μεταχαρᾶς δε το 12. καιρὸς ἐστὶν ἐσύστερον ὀλίγον 16. κατατῶν 17. ἀοίδημος 18. γεγονῶς γόργορας. Ἀλλ' ἴδε σ. 422, 14, 23. 423, 1. 424, 24. 431, 3. 21. ἀοιδήμου 26. σχῶσιν παρατῶν 28. φωσάτου 30 ἐπὶ ἔχων πετρόδη

ἐχθροῖς ἀνεπίβατον, ἐκέλευσε τὸν λαὸν ἐκεῖσε ἀνελθεῖν ἅπαντα σὺν τοῖς ἐνυπάρχουσιν αὐτοῖς καὶ τὸν τότε ἐπίσκοπον ὁμοῦ μετὰ τῶν ἱερῶν τοῦ ναοῦ σκευῶν, πολυτελῶν ὄντων [κ]αὶ τῆς σεβασμίας εἰκόνος, κόσμον κεκτημένης πολυτίμητον.

Τούτου τοίνυν γενομένου, ἐπελθὼν ὁ δυσσεβὴς Γιαγούπης ἐκεῖνος σὺν ἀναριθμήτῳ πλήθει φωσσάτου, ὡς εἰρήκαμεν, φθάσας τε καὶ λῃσάμενός τινας τόπους καὶ ἔτι περινοστῶν, οὐδένα τοῦ λοιποῦ λῃίσασθαι εὕρισκεν. Ὅθεν, τὸ πλέον ἀπρακτῶν, διενοεῖτο ἀπελθεῖν ὅθεν κακῶς ἐπελήλυθε. Τέως δὲ καὶ μέχρι Ἀσγορίου γενόμενος, ἀνεπιχείρητον || κατεῖδεν ὑπάρχον τὸ φρούριον, καὶ, παντελῶς ἀπαγορεύσας, φ. 118v
ἐβούλετο μεταβῆναι. Ὁ δὲ ἐπίσκοπος ὁ ἐν τῷ φρουρίῳ, ὁ τρισάθλιος ἐκεῖνος, ὑπό τινων παρασυρθεὶς διαβολικῶν λογισμῶν, κατελθὼν τὰς κλεῖς τῷ δυσσεβεῖ ἐνεχείρισε τοῦ φρουρίου. Καὶ οὕτως ὡς θὴρ ἄγριος ὁ δυσσεβὴς εἰσπηδήσας, πάντας κατήγαγε, καὶ ᾐχμαλώτισε καὶ πάντα διήρπασε, σκεύη τε τὰ ἱερὰ τοῦ ναοῦ καὶ αὐτὴν τὴν σεβασμίαν τῆς Θεομήτορος εἰκόνα, κόσμον ἐπιφερομένην πλεῖστον, ὃν μετὰ τῶν οἰκείων χειρῶν ὁ δυσσεβὴς ἐξαγαγὼν καὶ ἀπογυμνώσας, σὺν ἄλλοις τισὶν εἰκονίσμασι τῷ πυρὶ παραδοθῆναι προσέταξεν. Οὗ γενομένου, τὰ μὲν ἄλλα τοῦ πυρὸς παρανάλωμα γέγονεν, ἡ δὲ τῆς Θεομήτορος εἰκὼν αὕτη, ὢ θαύματος παραδόξου, πυρακτωθεῖσα καθάπερ σίδηρος, ἀσινὴς ὡς τὸ πρότερον πάλιν ἀποκα||τέστη, μηδὲν ἀπὸ τοῦ πυρὸς φ. 119r
παραβλαφθεῖσα τὸ σύνολον. Τοῦτο δὴ τὸ θαῦμα κατιδών τις τῶν Ἀρμενίων ἱερεὺς καὶ ὑφελόμενος τὴν εἰκόνα καὶ μετὰ τῆς προσηκούσης τιμῆς καὶ εὐλαβείας μεθ' ἑαυτοῦ ἔχων, ὑπέστρεψεν εἰς τὸ Ἀσγόριον [κ]αὶ προσελθὼν τῷ ἐκεῖσε ἱερῷ κλήρῳ διηγήσατο μεθ' ὅρκου ὅπερ κατεῖδεν θαῦμα. Καὶ συναχθέντες ἅπαντες, μετὰ φώτων καὶ ὕμνων καὶ θυμιαμάτων ἀπελθόντες, ἔλαβον τὴν σεβασμίαν ταύτην εἰκόνα καὶ ἤνεγκαν ἐν τῷ ναῷ πάλιν τῷ οἰκητηρίῳ αὐτῆς. Τῷ δὲ δυσσεβεῖ Γιαγούπῃ ἐκείνῳ εὐθὺς κατὰ πόδας ἡ θεία ἄνωθεν συνείπετο δίκη. Ἅμα γὰρ τῷ φθάσαι αὐτὸν εἰς τὸν ἑαυτοῦ χῶρον, διὰ τῶν οἰκείων

2. ἐνύπάρχουσιν 5. δυσεβὴς 6. φωσάτου φθάσαντες 7. λῃϊσάμενος τινὰς 11. ἐν ἧ ἐν τῷ φρουρείω 12. παρασυρεὶς 13. δυσεβεῖ 14 (καὶ 17). δυσεβὴς αἰχμαλώτισε 16. πλῆστον 21. ἀπεκατέστη μήδὲν 22. κατιδῶν 23. μετατῆς 25. μεθόρκου 27. θυμιάτων ἔλαβῶν 28. ἤνεγκαν δυσεβεῖ 29. καταπόδας θεῖα

χειρῶν, δι' ὧν τὸν τῆς σιδασμίας εἰκόνος ἀφείλετο κόσμον, διὰ τῶν αὐτῶν χειρῶν κώνειον ἔπιεν, καὶ τῇ μητρὶ καὶ ἀδελφοῖς αὐτοῦ ἔδω-
φ. 119β κεν καὶ ἀπώλετο κακῶς καὶ αὐτὸς καὶ ἐκεῖνοι καὶ τὸ ‖ γένος αὐτοῦ ὁλοκλήρως ἀπώλετο καὶ ἐξωλόθρευται. Οὕτως οὐδεὶς ἀπαναισχυντήσας τὴν ἄνωθεν ἐκφεύξεται δίκην, καθώσπερ ἐν τῷ Δευτερονομίῳ φησὶν ὁ θεός· «Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι, καὶ οὐδεὶς ἐξελεῖται ἐκ τῶν χειρῶν μου, ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου καὶ ἐρῶ Ἐγὼ ζῶ εἰς τὸν αἰῶνα· ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς μου, καὶ τοῖς μισοῦσί με ἀνταποδώσω· μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα».

Καὶ ταῦτα μὲν περὶ τούτου· ὁ δὲ ἀοίδιμος καὶ μακάριος αὐθέντης Γοργορᾶς ἐπὶ τῇ τοῦ φρουρίου ἁλώσει ἄγαν τε δεινοπαθήσας καὶ λυπηθείς, τὸν μὲν θεήλατον ἐκεῖνον ἐπίσκοπον καὶ χρηματίσαντα προ-
φ. 120α δότην ἐκεῖθεν ἐξώρισεν ἐν‖δικώτατα, καὶ συνοδικῇ καὶ νομίμῳ κρίσει τελείᾳ καθυπέβαλε καθαιρέσει· τὸν δὲ ὁσιώτατον καὶ ἁγιώτατον Συμεών, ἄνδρα ἀρετῇ τε καὶ συνέσει πνευματικῇ καὶ παρθενίᾳ ἐκ βρεφικῆς ἡλικίας, Ῥωμαῖόν τε ὄντα, ἐκ πόλεως καὶ βασιλίδος Τραπεζοῦντος ἕλκοντα τὸ γένος, γονέων τε εὐγενῶν καὶ ὀρθοδόξων ὄντα υἱὸν καὶ τὴν ἰσάγγελον ἐκ νέου μετελθόντα πολιτείαν καὶ πολλαῖς ἑτέραις κεκοσμημένον χάρισιν, ὡς καὶ περὶ τούτου ὁ λόγος ἑξῆς δηλώσει, τοῦτον ὁ ἀοίδιμος καὶ μέγας ἐν ὀρθοδοξίᾳ αὐθέντης Γοργορᾶς λόγοις πολλοῖς παρακλητικοῖς μόλις κατέπεισε τὸν θρόνον ἀναδέξασθαι ταύτης τῆς ἁγιωτάτης μητροπόλεως Ἀσγορίου καὶ πάσης τῆς ἐνορίας αὐτοῦ.

Τούτου οὖν τοῦ θειοτάτου ἀνδρὸς εἰς τὸν τοιοῦτον ἀρχιερατικὸν ἀναβάντος θρόνον, πολλὰ ἀγαθὰ τῷ τε τόπῳ παντὶ καὶ τοῖς ἐν αὐτῷ
φ. 120β οὖσι ‖ Χριστιανοῖς καὶ τῷ σεβασμίῳ ναῷ τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου προςεπεγένοντο, τὰ μὲν ἐξ οἰκείας σπουδῆς καὶ κόπου καὶ μόχθου, τὰ δὲ ἐκ τῶν ἀοιδίμων αὐθεντῶν. Εὐθὺς γὰρ

1. διώνως 2. κόνειον 4. ἐξωλώθρευται Ἐν τῇ ᾤᾳ ἡ λέξις κείμενον ἀναφερομένη εἰς τὸ ἐν τῷ κειμένῳ χωρίον ἐκ τοῦ Δευτερονομίου (ΛΒ' 39-40) ἀπαναισχῦνται 8. χεῖρα ὁμοῦμαι 11. μισοῦσι ἀφαίματος 13 (καὶ 23). ἀοίδημος 14. δυνοπαθήσας 19. ῥωμαῖον τὲ 21. πολλοῖς ἑτέροις 22. ἐξῆς 24. μόλοις κατέπισε 28. προσέπεγένοντο 30. αὐθέντων

ὁ τῷ ὄντι μακαριστὸς καὶ μέγας αὐθέντης Γοργορᾶς, πίστιν ὀρθὴν καὶ εὐλάβειαν ἔχων πολλὴν εἰς τὰ θεῖα καὶ τῇ τοῦ ἀρχιερέως ἐπαγαλλόμενος ἀρετῇ τε καὶ κοσμιότητι καὶ συνέσει πνευματικῇ, πολλὰ δεδώρηται τῷ τε σεβασμίῳ τεμένει τῆς Θεομήτορος σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ καὶ κτήματα ἕτερα πλεῖστα καὶ τῇ προσκυνητῇ εἰκόνι κόσμον διάχρυσον, καὶ ἐν πᾶσι τῷ ἀρχιερεῖ πειθαρχῶν ἦν. Καὶ ἦν τὸ τοιοῦτον τῆς εἰρήνης ἀγαθὸν τῷ χώρῳ μέχρι τινός, ἀρετὴ ὑπ' ἀρετῆς τιμωμένη τε καὶ λαμπρυνομένη καὶ συναυξομένη. Ἀμέλει καὶ τῆς συζύγου αὐτοῦ προτελευτησάσης, τῆς ἐν μακαρίᾳ ‖ τῇ λήξει γενομένης φ. 121ª
ἀειμνήστου τετιμένης βασιλίσσης, τῆς ἐναρέτου ἐκείνης καὶ θεοφιλοῦς, πολλὰ καὶ αὖθις ἀφιερώσατο κτήματα. Ἐκεῖσε γὰρ ἐν τῷ ναῷ τῆς Θεομήτορος ἐνταφιάσας καὶ μέγα πένθος ἐν αὐτῇ τετελεκώς, μνημόσυνον ἐποίησε καθ' ἑβδομάδα τελεῖσθαι ἀεὶ ὑφ' ὅλου τοῦ ἱεροῦ ἐκεῖσε κλήρου ὑπὲρ αὐτῆς· ὅπερ εἰσέτι καὶ νῦν ὑπάρχει τελούμενον καὶ πολλοὶ τῶν πενήτων εἰσὶν ἐκεῖσε τρεφόμενοι.

Ἀλλὰ καὶ αὐτοῦ τούτου τοῦ μεγίστου ἐν ἡγεμόσιν μετ' οὐ πολὺ ἀειμνήστως καὶ μακαρίως τὸν βίον μεταλλάξαντος ἐπ' ἀγῶσι πολλοῖς καὶ λαμπροῖς κατορθώμασι· πολλοὺς γὰρ καὶ μεγίστους συνεκρότησε πολέμους κατά τε τῶν ἀνθισταμένων αὐτῷ ἐχθρῶν καὶ βαρβάρων πολεμίων κἀν τούτοις γε πᾶσι νικητής τε καὶ τροπαιοῦχος ἀναδέδεικται καὶ ἀκαταγώνιστος πάντη διαμεμένηκε, τὴν ἄνωθεν θείαν ἔχων ἰσχὺν ‖ συμμαχοῦσαν ἑαυτῷ καὶ συμπράττουσαν διά τε τὸ περιὸν φ. 121ᶜ
τῆς ὀρθοδοξίας αὐτοῦ καὶ εὐσεβείας καὶ τὸ [πρὸς] πάντας τοὺς ὑπ' αὐτὸν χάριεν καὶ κοινωνικὸν καὶ συμπαθὲς καὶ ἀόργητον· λέγεται γὰρ ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ μηδένα τῶν ὑπηκόων τύψας οἰκείᾳ χειρί· πρὸς τούτοις τὸ φιλότιμον καὶ φιλόξενον καὶ εὐεργετικόν, τὸ πρᾶόν τε καὶ ταπεινὸν εἰς τὰ θεῖα καὶ εὐπειθές· διὰ δὴ τῶν προσόντων αὐτῷ τούτων ἀγαθῶν καὶ ἐναρέτων ἔργων καὶ πράξεων ἡ θεία ἄνωθεν ἰσχύς τε καὶ δύναμις συμμαχοῦσα ἦν αὐτῷ καὶ συμπράττουσα κατὰ τῶν ἐναντίων καὶ ἀντιφερομένων αὐτῷ, ὥς που φησὶν ὁ Κύριος Ἐπὶ τίνα βλέψω ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ ταπεινὸν καὶ τρέμοντά μου τοὺς λόγους; Τούτου τοίνυν ἐγγὺς ὀγδοήκοντα γεγονότος

1. ὁ τῶν 2. ἐπ'ἀγαλλόμενος 6. πιθαρχῶν 7. ἀγαθῶ 8. συναρξουμένη 10. τετισμίης ἐνάρέτου 12. τετελεκῶς 21. πάντι 24-25. ἐφόρω 26. πρᾶον 28. ἐνάρέτων θεῖα

Ε.Κ.Δ της Ι.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐτῶν καὶ μακαρίως ἐν πολλοῖς καὶ γενναίοις κατορθώμασιν, ὡς εἴρηται, κοιμηθέντος καὶ πρὸς θεὸν || φ. 122α διαβάντος, ὁ γλυκύτατος λίαν καὶ κατὰ πάντα μακαριστὸς Καΰχοστρος, ὁ καὶ πρότερος υἱὸς αὐτοῦ, τὴν ἀρχὴν τῆς σκηπτουχίας διεδέξατο, ὁ ἐξ ἀγαθῆς ῥίζης ἀγαθὸς χρηματίσας βλαστὸς καὶ καρποφόρος στάχυς τῶν ἀρετῶν, ὁ φιλόπτωχος καὶ φιλόξενος καὶ πτωχοτρόφος καὶ κατὰ πάντα χριστομίμητος αὐθέντης καὶ βασιλεύς. Ἀλλὰ δὴ ποία γλῶσσα παραστῆσαι δυνηθείη ὅσα προσῆν αὐτῷ ἀγαθά, τὸ ἄκρως εὐσεβές τε καὶ ὀρθόδοξον καὶ φιλόθεον, τὸ μεγαλοφυές τε καὶ φιλομαθές, τὸ γαληνὸν καὶ μακρόθυμον, τὸ ἡδύτατον ὄμμα καὶ εὐπροσήγορον καὶ εὐσυμπάθητον καὶ πλῆρες ἐλεημοσύνης καὶ χάριτος καὶ φιλοτιμίας παντοδαπῆς;

Οὗτος δῆτα, τοιοῦτος ὤν, τὴν ἀρχὴν ἐπηύξησέ τε, καὶ πανταχόθεν πάντες συνέρρεον εἰς τὸν τῆς ἐξουσίας αὐτοῦ ἐνοικεῖν τόπον· οὐ μόνον ἐκ τῶν ἀλλογλώσσων, ἀλλὰ καὶ Ῥωμαίων πλεῖστοι, ἐλθόν|| φ. 122β τες ἀλλαχόθεν μεγάλην ἀναδοχὴν εὕραντο ὑπ᾿ αὐτοῦ καὶ ᾑρετίσαντο κατοικῆσαι ἐν τῷ τόπῳ καὶ ἀπολαύειν τῆς εὐμενείας αὐτοῦ καὶ φιλοτιμίας καὶ γλυκείας ἐντεύξεως. Οὐ μόνον γὰρ Ἀράβων καὶ Περσῶν καὶ Ἰβήρων γραφὰς καὶ γλώσσας ἀκριβῶς μεμαθηκὼς ἦν καὶ εἰς ἄκρον ὡς οὐδεὶς ἄλλος μίαν διὰ τὸ περιὸν τῆς ἀγχινοίας αὐτοῦ, ἀλλὰ καὶ τὴν τῶν Ῥωμαίων γραφὴν καὶ γλῶσσαν τὴν βασιλίδα πασῶν τῶν γλωσσῶν μεμάθηκεν ἱκανώτατα, καὶ ἡδύτατα ὡμίλει τοῖς προσιοῦσι καὶ οἰκτήριον ἦν ἁπάντων τῶν ἀγαθῶν καὶ τῶν ἐν ἀνθρώποις προτερημάτων. Ὅθεν καὶ εἰς ὅλην ἐπαινετὸς γέγονε τὴν οἰκουμένην. Οὗτος δῆτα καὶ ἔτι μᾶλλον τὸ πανίερον καὶ σεβάσμιον τῆς Θεομήτορος τέμενος πολλοῖς ἀναθήμασί τε καὶ δωρεαῖς κατεκόσμησεν, καὶ κόσμῳ τὴν προσκυνητὴν ἐπενέδυσεν εἰκόνα καὶ τὰ πέριξ αὐτῆς. Καί γε εἰς τὰ θεῖα καθόλου εἰπεῖν πολλὴν εὐλάβειαν || φ. 123α καὶ τιμὴν ἐπεδείκνυεν, καὶ μάλιστα εἰς τὸν εἰρημένον ἀρχιερέα, στοργήν τε καὶ ἀγάπην ἔχων πνευματικὴν πολυχρόνιον, ἐπιεικῶς ὑποτασσόμενος ἦν αὐτῷ· καὶ μία, ὡς εἰπεῖν, λαμπροτάτη ἦσαν ψυχὴ ἐν δυσὶν εἰλικρινέσι σώμασιν ἐνεργοῦσά τε καὶ πράττουσα ὅση δύναμις ἅπαν ἀρετῆς εἶδος.

1. γεναίοις 4. σκηπτουχείας 7. ποῖα 14. ἀλλογλωσσῶν 15. ἠρετήσαντο 17. ἀρράβων 18. μεμαθηκῶς 21. ἱκανότατα ὁμίλει 26. κόσμον ἐπένδυσεν 30. ψυχῆ 31. ἐνεργοῦσα τὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Γ. ΠΕΤΣΙΟΣ
ΕΠΙΜΕΛΕΙΑ της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλ', ὦ τῆς ἐπικήρου ἡμῶν φύσεως, πῶς τὸ ἐφεξῆς εἴπω; Συνέχεται γάρ μου βαρείᾳ ἡ ψυχὴ λύπῃ. Καὶ τούτου γὰρ τοῦ ἀγαθοῦ οὐκ ἐπὶ πολὺ ἐστερήμεθα, τὸν βίον ἀοιδίμως καὶ μακαρίως μεταμειψαμένου καὶ πρὸς τὰ αἰώνια μετοικισθέντος ἀγαθά, ἅπερ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Λύπη καὶ κατήφεια καὶ σκοτομήνη ὀδυνηρὰ κατείληφεν τὸν χῶρον ἅπαντα, καὶ μάλιστα πάντων τὸν χαριτώνυμον αὐθέντην Ἰωάννην Μυρζετζαμπούκην, τὸν ὑπερλίαν αὐτοῦ ἠγαπημένον ἀδελφόν τε καὶ τοῦ κράτους αὐτοῦ διάδοχον καὶ πάντας τοὺς καθ' αἷμα προσήκοντας ‖ ἀδελφούς τε καὶ ἀδελφὰς καὶ ἔτι πλέον φ. 123v
σχεδὸν τὸν εἰρημένον ἁγιώτατον ἀρχιερέα Συμεών, τὸν πάνυ ὁμόψυχον καὶ ἡδύτατον ὁμοδίαιτον. Ἀλλὰ δὴ ποία ἐξαρκέσειε γλῶττα ἐξειπεῖν καὶ παραστῆσαι τὸ πένθος καὶ τὴν βαρεῖαν αἰθάλην τῆς ἀφορήτου λύπης ἐκείνης τῆς τηνικαῦτα κατασχούσης αὐτῶν τὰς ψυχάς, οὐ μόνον δέ, ἀλλὰ καὶ ἅπαν τὸ τῶν ἀνθρώπων τοῦ παντὸς τόπου πλῆθος; Νέοι γὰρ καὶ γέροντες σὺν γυναιξὶ καὶ παισὶ τὴν ὀρφανίαν ὡς κοινοῦ πατρὸς καὶ εὐεργέτου ἐπωδύροντο καὶ πρὸς γῆν νενευκότες τὰς ἑαυτῶν κεφαλὰς κόνει κατέπασσον. Ὅσας οὖν ἐν ὅλῳ τῷ πενθίμῳ ἐκείνῳ ἔτει ὁ ῥηθεὶς αὐτάδελφος αὐτοῦ καὶ διάδοχος τῆς βασιλείας αὐθέντης Ἰωάννης Μυρζετζαμπούκης ἐλεημοσύνας τε πρὸς τοὺς ἐνδεεῖς καὶ αἰχμαλώτους καὶ πρὸς τοὺς ἱεροὺς καὶ ἁγίους ναοὺς θυσίας διὰ τοῦ ἱεροῦ καὶ ἀρχιερατικοῦ ἐπεποιήκει συστήματος ὑ‖πὲρ τῆς φ. 124r
ψυχῆς αὐτοῦ δυσκόλως ἀπαριθμήσειεν ἄν τις. Οὕτως ὁ ἀγαθὸς πατὴρ καὶ μήτηρ ἀγαθή τε καὶ φιλόθεος, ὁ ἐνδοξότατος δῆλα δὴ καὶ μέγιστος ἡγεμὼν Γοργορᾶς σὺν τῇ μακαρίᾳ συνεύνῳ ἑαυτοῦ τετιμένῃ τοιούτους γεγεννήκασι μεγίστους καὶ παμφαεῖς υἱούς, ὥστε πρὸς μὲν ἅπαντας τοὺς ἐγχωρίους καὶ ἐγκρίτους ἀπαραμίλλους εἶναι τὴν ἀρετήν, πρὸς δὲ ἀλλήλους ἴσους κατὰ πάντα καὶ τοῖς τεκοῦσιν ἀμφοτέρους ἐξομοιοῦσθαι εἰς τὰ τῆς ἐναρέτου πολιτείας ἀγαθὰ ἔργα. Ὄντως ἡ ὑπέρθεος καὶ ζωαρχικὴ καὶ ἀδιαίρετος τῇ φύσει Τριάς, ὁ εἷς τῶν ὅλων παντοκράτωρ θεὸς δεδόξασται κἀν τούτοις τοῖς γενναιοτάτοις καὶ ἐναρέτοις ἀνδράσιν. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίτω ὁ λόγος.

Τοιγαροῦν διαδεξάμενος τὴν ἀρχὴν καὶ αὐθεντίαν καὶ σκηπτουχίαν

1-2. συνέχεσαι 3. ἀοιδήμως 8. κράτος 11. ποῖα γλῶττα 16. κεινοῦ ἐποδύροντο 20. ἱερεῖς 23. δηλαδὴ 24. τετισμένη. Ἴδε ἀνωτέρω σ. 423, 10. 27. τεκόσιν 32. σκηπτουχεῖαν

ΙΩΑΝΝΙΝΑ 2006

φ. 124β ὁ χαριτώνυμος οὗτος αὐθέντης Ἰωάννης Μυρζετζαμπούκης ‖ σπουδὴν σὺν θεῷ ἔθετο πλείστην ἅπαν ἀρετῆς εἶδος ἐν ἑαυτῷ ἐπικτήσασθαι καὶ παράδεισον εὐανθῆ τὴν ἑαυτοῦ ψυχὴν ἀπεργάσασθαι ἐκ παντοίου ζωηφόρου φυτοῦ καὶ εὐόσμου συγκεκροτημένον. Προηγουμένως μὲν ἐκ μητρικῆς νηδύος τῇ παρθενίᾳ καὶ τῇ ἁγνείᾳ ὡς θεμελίῳ θείῳ ἐπιδοὺς ἑαυτὸν μέχρι γήρως ἀμείωτον θείᾳ συνάρσει διατετήρηκεν· τριχῶς δὲ τὴν θείαν ἐξεμελέτησε γραφὴν ἐν ἐπιμελείᾳ ὅσον ἐφικτὸν ἦν ἀνθρώπῳ, ἰβηρικῶς τε καὶ ἀραβικῶς καὶ περσικῶς, κατὰ τὸν θεῖον ὥς φασί τινες Παῦλον ἰουδαϊκῶς τε καὶ ἀραβικῶς καὶ ἑλληνικῶς. Ἀκορέστως δὲ εἶχε τὸν νοῦν ἀνερευνᾶν καὶ καρποῦσθαι τῶν τε φωτεινῶν εὐαγγελικῶν ῥητῶν καὶ ἀποστολικῶν καὶ τῶν τοῦ θείου Δανὶδ Ψαλμῶν, ὧν περ ἄρα ἡ μελέτη τὸν ἀνθρώπινον εἴωθεν ἀνάγειν νοῦν πρὸς θεὸν καὶ

φ. 125α τὸ ἥδυτατον καὶ ἐράσμιον αὐτοῦ ἐνοπτρίζεσθαι ‖ κάλλος. Εἰς ῥώμην δὲ σώματος καὶ μέγεθος καὶ ἀνδρίαν οὐδενὸς τῶν πάλαι ἐκείνων καὶ ὀνομαστῶν ἐν τούτοις ὑπολέλειπται ἡρώων ἀνδρῶν. Ὅθεν καὶ τοῖς βαρβάροις ἐχθροῖς φοβερὸς ἀμωσγέπως ἦν καὶ ὀνομαστὸς σχεδὸν ἐν ὅλῃ τῇ οἰκουμένῃ καὶ τριχῇ κατὰ τὸν θεῖον Συνέσιον καὶ αὐτὸς τὸν βίον μεμέρικε, βιβλίῳ, θήρᾳ καὶ εὐχῇ.

Τὴν δὲ φιλοτιμίαν αὐτοῦ καὶ τῆς χειρὸς τὴν ἁπλότητα καὶ τὴν εὐποιίαν τίς διηγήσαιτο, τὴν δυσεξαρίθμητον δὲ μάλιστα ἐλεημοσύνην καὶ χορηγίαν καὶ εὐεργεσίαν πρός τε τοὺς οἰκείους καὶ φίλους καὶ ξένους καὶ πτωχοὺς καὶ αἰχμαλώτους; Πρὸς τοὺς ἁγίους δὲ ναοὺς μάλιστα καὶ μοναστήρια, τά τε κατὰ τὸ ἁγιώνυμον Ὄρος καὶ εἰς Σίναιον δὲ ὄρος, πολλὰ δεδώρηται, ἔνθα τῷ Μωϋσῇ ὁ θεὸς ἐν πυρὶ λελάληκε βάτου, καὶ εἰς τὰ λοιπά, ὅπου ἂν ἠκηκόει χρείας τινὸς ἐπιδεο-

φ. 125β μένους, καὶ αὐτὰ τὰ τῆς οἰκουμένης ‖ ἱεροάγια πατριαρχεῖα δωρεαῖς κατέστεψεν ὁ φιλευσεβὴς οὗτος καὶ φιλόθεος αὐθέντης Ἰωάννης Μυρζετζαμπούκης, ἐξόχως δ' εἰς τὸν τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου ναόν, ἐν ᾧ ἡ θαυματοποιὸς αὐτῆς ἐστιν εἰκών, περὶ ἧς καὶ ὁ λόγος οὗτος συνέστηκεν.

Ὅσα δὴ κτήματα κινητά τε καὶ ἀκίνητα ἐπιδαψιλευσάμενος προσαφιέρωσεν, κώμας δηλονότι καὶ τόπους καὶ ἱερὰ σκεύη πολυτελῆ, χρύσεά τε καὶ ἀργυρᾶ, λίθους τε τιμίους καὶ μαργάρους πολυτιμή-

5. αγνεία  8. ἰβερικῶς (καὶ 9). ἀρραβικῶς  9. ἐλληνικῶς
16. αμωσγέπως  24-25. λελακε  25. χρίας  26. ἰεροαγια  29. ἐστὶν

τους καὶ ἕτερα δὴ πλεῖστα ταῦτα εἴ τις ἱστορῆσαι βουληθείη καθ' εἱρμόν, πολύστιχον ἂν συστήσειε καθ' αὐτὸ βιβλίον, ἅπερ ἡμεῖς τὴν βραχυλογίαν ἀσπαζόμενοι παρατρέχομεν. Καὶ γὰρ ἅπαντες ἐκ ταύτης τῆς βασιλικῆς σειρᾶς φιλότιμοι μὲν ἦσαν καὶ εὐμετάδοτοι καὶ εἰς τὸ ἀφιεροῦν εἰς τοὺς ἁγίους σηκοὺς κτήματα καὶ σκεύη πολυτελῆ || σπουδαῖοι ἐτύγχανον, καθάπερ ὁ λόγος φθάσας ἐδήλωσεν περί τε τοῦ (φ. 126α) μακαρίτου πατρὸς Γοργορᾶ, τοῦ μεγίστου ἡγεμόνος, καὶ τοῦ ἀοιδίμου ἀδελφοῦ Καϋχόστρου καὶ τῆς φιλοχρίστου αὐτοῦ μητρός, τῆς ἐν μακαρίᾳ τῇ λήξει γενομένης ὡς καὶ αὐτη περιοῦσα πολλὰ ἀφιέρωσε κτήματα. Οὐ μὴν δὲ ἀλλὰ καὶ [ἡ] εἰσέτι περιοῦσα ἀδελφὴ αὐτοῦ καὶ βασιλὶς Θάμαρις, ἥτις σύζυγος ἦν τοῦ τῆς κάτω Ἰβηρίας ἁπάσης βασιλέως, καὶ αὐτὴ δέ, θεοφιλεῖ συζῶσα προαιρέσει, πολλὰ προςαφιέρωσε σκεύη ἐν τῷ τοιούτῳ τῆς πανάγνου τεμένει ὑπὲρ ψυχικῆς ἑαυτῆς σωτηρίας. Ἀλλ' οὗτος ὁ μέγας ἡγεμὼν καὶ τῷ ὄντι πλουσιοπάροχος αὐθέντης Μυρζετζαμπούκης πάντως ὑπερῆρε ταῖς δαψιλέσι χορηγίαις καὶ διαδόσεσι καὶ μέχρι τοῦ νῦν οὐ παύεται τὸ ἱερὸν τῆς Θεομήτορος τέμενος φιλοτίμοις κατακοσμῶν δωρεαῖς. Ἁπλῶς δὲ εἰπεῖν, || ὡς ἐπὶ τῶν ἡμερῶν τῶνδε τῶν θειοτάτων ἀνδρῶν καὶ κρατίστων ἡγεμόνων, (φ. 126β) οὓς ὁ λόγος φθάσας ἐδήλωσε, καὶ μάλιστα ἐπί τε τοῦ ἀρτίως λεχθέντος ἡγεμόνο, Ἰωάννου Μυρζετζαμπούκη καὶ αὐτοκράτορος Ἰβηρίας ἁπάσης τῆς ἄνω καὶ οὐ πολλάκις ἐμνήσθη ὁ λόγος ἁγιωτάτου ἀρχιερέως Συμεὼν τό τε τῆς ἀρχιεροτελεστίας δεδόξασται ἀξίωμα εἰς τὸν τοιοῦτον ἅπαντα τόπον καὶ τὸ τῆς τῶν Χριστιανῶν ἡγεμονίας ἱλαρώτατον καὶ φιλανθρωπότατον ὑπερύψωται κράτος, ἅπερ ἄνωθεν ἐκ τοῦ τῶν φώτων πατρὸς καταπέμπεται ταῖς τῶν εὐσεβῶν ἀνθρώπων ψυχαῖς, διὰ τῆς παναγνοτάτης θυσίας καθαῖρον αὐτὰς καὶ πρὸς θεὸν ἀνάγον τε καὶ συνάπτον, ἅτε τὸ λύειν καὶ δεσμεῖν τὰ αὐτῶν ἀμπλακήματα ἐκεῖθεν προςειληφὸς καὶ εἰς πάντα τὸν τοῦ θεοῦ ἐπέχον ἐπὶ γῆς τόπον. Τὸ μέν, ἤγουν τὸ τῆς βασιλείας ἀξίωμα, || τῶν (φ. 127α) ἀνθρωπίνων σωμάτων κατάρχειν πέφυκε, τιμωρίαις ὑποβάλλον τοὺς

1-2. καθειρμόν 2. καθαυτὸ 7. γόργορα ἀοιδήμου 8. φιλοθέου ἐν δὲ τῇ φ᾽ ... χρίστου 13. ἡ λείπει 15. δαψιλαῖς 22. ἀρχιεροτελεστείας 24. ἱλαρότατον 25. τοῖς Ἐν μὲν τῷ κειμένῳ ἀνων ἐν δὲ τῇ φ: πίνων ψυχῶν 30. μὲν ἤγουν ἔγραψα: δὲ ἕως. Ἴδε Νέου Ἑλληνομνήμονος Τόμ. Ϛ' σ. 207 κ. ἑ.

πταίοντας, ἵνα τοὺς λοιποὺς νουθετήσῃ καὶ τῶν κακῶν ἀποστήσῃ νοημάτων τε καὶ πράξεων, τοὺς δὲ σπουδαιοτέρους καὶ ἐπιεικεῖς δωρεαῖς καταστέφον, ὅπως ἅπαντας, εἰ δυνατόν, πρὸς μίμησιν τοῦ καλοῦ καὶ χρηστῶν ἔργων περιποίησιν ὑποθήξῃ τε καὶ διεγείρῃ· ὅπερ ἑκάτερον ὁ φιλευσεβὴς δηλονότι αὐθέντης Ἰωάννης Μυρτζετζαμπούκης ἐπισταμένως ἐξησκηκὼς ὦπται σὺν ἄλλοις πλείστοις τῶν ἀρετῶν προτερήμασι, καθάπερ ὁ λόγος φθάσας ἐδήλωσε. Τὸ δὲ καλῶς καὶ θεαρέστως διατετήρηκεν ἐν πᾶσι, τὸ τῆς ἀρχιερωσύνης δηλαδὴ ἀξίωμα, ὁ σεβασμιώτατος οὗτος Συμεών· ἐν ἁπάντων γὰρ τοῖς στόμασιν ᾄδεται καὶ τὰ τοῦδε τοῦ θεοπροβλήτου ἀρχιερέως καὶ ποιμένος καὶ μι-
φ. 127β μητοῦ τοῦ καλοῦ ἀρχιποίμενος ἀγαθά τε καὶ ἐ‖πέραστα κατορθώματα καὶ τῆς ἐνούσης αὐτῷ χάριτος θείας ἔργα καὶ ἐναρέτου πολιτείας ἀπανθίσματα, τὸ διὰ παντὸς χαροποιὸν καὶ εὐφρόσυνον, τὸ ἱλαρόν τε καὶ σὺν πλείστῃ φιλοτιμίᾳ εὐεργετικὸν καὶ πρὸς ἅπαντας ὁμοίως ξενοδοχικὸν κατὰ τὸν πάλαι πατριάρχην Ἀβραάμ, τὸ τῆς εὐποιίας καὶ ἐλεημοσύνης ἀέναον ῥεῖθρον καὶ ἴσα ποταμῷ δαψιλῶς ἀρδεῦον ἅπαντας, τὸ πρὸς ὑψηλούς τε καὶ εὐτελεῖς, πλουσίους τε καὶ πένητας ἴσον ἑαυτὸν παρέχειν, βίου χαρμονῇ ψυχικῇ μέτριόν τε καὶ θεραπευτικὸν καὶ εἰρηνικὸν καὶ τοῦ εἰρηνάρχου Χριστοῦ καὶ τῆς εἰρήνης πρυτάνεως μιμητὴν ἀκριβέστατον. Καί, ἵνα μὴ καθ᾽ ἕκαστον λέγων διατρίβω καὶ δόξω τισὶ τὰ πλείω τἀνδρὶ χαρίζεσθαι, ἡ θεοχαρίτωτος αὐτοῦ ψυχὴ πάντων ὑπῆρξε τῶν ἀγαθῶν οἰκητήριον.

φ. 128α ‖Ἀλλ᾽ ἤδη πρὸς ὅρμον ὁ τῆς παρούσης διηγήσεως λόγος ἔφθασεν, ὃν ὁ τῆς σεβασμίου καὶ προσκυνητῆς εἰκόνος τῆς Θεομήτορος ὑπόθεσις καὶ τῶν ὑπ᾽ αὐτῆς γεγονότων θαυμάτων εἰς δόξαν αὐτῆς κεκίνηκε καὶ προσηκόντως μνησθῆναι καὶ τῶν εἰρημένων ἁγίων αὐθεντῶν καὶ ἡγεμόνων, τοῦ τε ἀοιδίμου Γοργορᾶ καὶ Καϋχόστρου καὶ τοῦ χαριτωνύμου Ἰωάννου Μυρζετζαμπούκη καὶ τῶν ἐναρέτων αὐτῶν ἔργων καὶ πράξεων παρεσκεύασεν, ἵν᾽ ἔχοιεν οἱ μετὰ ταῦτα τύπον καὶ μίμησιν τοῦ καλοῦ καὶ ζῆλον ἀγαθὸν καὶ παράθηξιν. Μνήμη γὰρ δικαίου μετ᾽ ἐγκωμίων, τὸ σολωμόντειον ἔπος φησίν. Εἰ γάρ τις βου-

3. προσμίμησιν 4. ἔργα 5. ἑκάτερος δηλονότι 6. ἐξησκηκῶς ὦπται 8. δηλαδὴ 9. στόμασι 11. ἐπάρεστα 12. ἐνούσης 13. διαπαντὸς 14. συνπλείστη 16. ἀένναον ἀρδεύον 20. καθέκαστον λέγω 31. μετεγκωμίων

ληθείη ἐνθυμηθῆναι ἄνδρα δίκαιον καὶ ἄριστον ἐνώπιον πολλῶν, ἀναγκαῖον τὸ ὄνομα αὐτοῦ εἰς μέσον μετ᾽ ἐγκωμίων ἐνεγκεῖν τῶν κατ᾽ αὐτὸν ἔργων καὶ πράξεων τῶν ἀρίστων καὶ τοὺς ἐπακροω||μένους εἰς φ. 128v τέρψιν καὶ δόξαν παρακινῆσαι θεοῦ. Ὅθεν καὶ φησὶν Ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοὶ πολλοί· ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ. Καὶ τὴν αἰτίαν ἀποδεικνύων πῶς ἀθανασία ἐστὶ καὶ ἀτελεύτητος, ἐπάγει, ὅτι καὶ παρὰ θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις· παρὰ μὲν γὰρ θεῷ γινωσκομένη τῇ τοῦ θεοῦ ἀπεράντῳ βασιλείᾳ συμπαρεκτείνεται, παρὰ δὲ ἀνθρώποις, ὅτι γραφῇ τυπουμένη καὶ τοῖς ἑπομένοις μετὰ ταῦτα παραδιδομένη τῇ γραφικῇ διαδοχῇ ἀθάνατος τῷ ὄντι καθίσταται. Διά τοι τοῦτο ἀδικοίημεν τὴν ἀλήθειαν μὴ τὰ σπουδαίων καὶ ἐναρέτων ἀνδρῶν προτερήματα γραφῇ παραδιδόντες, καὶ μάλιστα τῶν εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων καὶ ἡγεμόνων τὰ γενναῖα ἔργα καὶ κατορθώματα, καὶ ταῦτα ὑπόχρεῳ ὄντες εἰς τοῦτο, ἅτε λόγου μετεσχηκότες τοῦτ᾽ ἀμηγέπη δυναμένου ἐπ᾽ ὄψιν παριστᾶν. Τοῦτο δ᾽ ἀποπληρούντων || ἡμῶν τὸ θεοφιλὲς ἔργον καὶ γραφῇ φ. 129r ταῦθ᾽ ὡς ἐν τύπῳ παραδιδόντων οἱ ἀκροώμενοι πάντες εἴς τε δόξαν τοῦ τῶν ὅλων θεοῦ διεγείρονται καὶ μίμησιν ὅσον ἐφικτὸν τῶν χρηστῶν ἔργων.

Καὶ ταῦτα μὲν περὶ τούτων ἀποχρώντως σχεδόν τοι ἡμῖν εἴρηται. Ἀλλ᾽, ὦ παντάνασσα καὶ παντευλόγητε κόρη καὶ παρθενομῆτορ πανυπέραγνε Θεοτόκε, ἡ τῶν ἔγγιστα περὶ θεὸν καὶ ἀμέσως ἐξ αὐτοῦ ἐλλαμπομένων ἀχράντων καὶ ἀΰλων δυνάμεων ἀσυγκρίτως εἰς λόγον ὑπερκειμένη καθαρότητός τε καὶ δόξης· τριῶν γὰρ οὐσῶν τῶν περὶ θεὸν οὐρανίων ἀΰλων ἱεραρχιῶν, καὶ ἑκάστης τούτων ἐν τρισὶ συνισταμένης τάγμασιν· ἡ μὲν γάρ, ἵνα τὸν λόγον ἐπαγωγικῶς εἴπω, ὑπάρχει, ἄγγελοι, ἀρχάγγελοι, ἀρχαί, ἡ δὲ ἀνωτέρα ταύτης καὶ ὡς εἰπεῖν ἀϋλοτέρα ἐστίν, ἐξουσίαι, δυνάμεις, κυριότητες, ἡ δ᾽ αὖ ἀνωτέρα τε ταύτης καὶ ἀϋλοτέρα καὶ ὑψηλοτέρα ἐστί, θρόνοι, Χερουβίμ, Σεραφίμ, ἤγουν || πολυόμματά τε καὶ ἑξαπτέρυγα· αὕτη οὖν ὑπερ- φ. 129v τάτη οὖσα καὶ θεοῦ ἐγγὺς καὶ ἀμέσως δεχομένη παρὰ θεοῦ τὴν ἔλλαμψίν τε καὶ μύησιν τῇ δευτέρᾳ διαπορθμεύει ταύτην· ἡ δὲ δευτέρα

1. ἐνθυμιθῆναι 3. αὐτῶν 5. γὰρ ἐστὶν 10. μεταταῦτα 11. τῶόντι ἀλήθειαν 15. τούτου 23. ἐλαμπομένων 28. αὐ 31-32. ἔλαμψιν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ ΤΟΥ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῇ τρίτῃ, ἐκ δὲ τῆς τρίτης ἡ καθ' ἡμᾶς ἀναλόγως ἱεραρχία ἐλλάμπεται. Τῆς τοίνυν πρωτίστης [κ]αὶ ὑπερτάτης ἱεραρχίας Χερουβὶμ δῆλον ὅτι καὶ Σεραφὶμ καὶ θρόνων τῆς ἀμέσως ἐκ τοῦ θεοῦ φωτιζομένης σύ, πανυπερευλογημένη παντάνασσα, ἐνδοξοτέρα τε καὶ τιμιωτέρα καὶ ὑψηλοτέρα ἀσυγκρίτως ὑπάρχεις καθ' ἁγιωσύνης λόγον καὶ καθαρότητος. Ὢ γὰρ ἐκεῖνοι οὐκ ἰσχύουσιν ἀτενίσαι διὰ τὴν ἐξ αὐτοῦ ἐξαλλομένην ἀστραπὴν τῆς ἀπειράκις ἀπείρως ὑπεραΰλου αὐτοῦ θεότητος, τοῦτον ὑπὲρ σωτηρίας τῆς λογικῆς φύσεως ἐν τῇ ἰδίᾳ παρθενικῇ καὶ ἁγίᾳ ἐβάστασας γαστρὶ ἀνεκφράστῳ λόγῳ. Ναί, νύμφη ἀνύμφευτε, παρθενομῆτορ ‖ [φ. 130α] Μαρία, κυρία τοῦ σύμπαντος κόσμου καὶ πάντων ἡμῶν, ἡ ὄντως καὶ κυρίως Θεοτόκος, τὸ τῆς ἀπροσίτου θεότητος πανάγιον οἰκητήριον, ἡ τῆς σωτηρίας ἡμῶν χρηματίσασα πρόξενος, ἡ τῶν προφητῶν δόξα, τὸ τῶν Ἀποστόλων καύχημα καὶ ἀγαλλίαμα, τὸ τῶν μαρτύρων κραταίωμά τε καὶ στεφάνωμα, τῶν ἀρχιερέων τὸ ἐγκαλλώπισμα, τῶν δικαίων ἡ εὐπρέπεια, τῶν μοναζόντων ἡ ἀσφάλεια, τῶν παρθένων τὸ ἀπροσμάχητον τεῖχος, ἡ τῶν πταιόντων καταφυγὴ καὶ συγχώρησις, ἡ τοῦ ἡλίου τῆς δικαιοσύνης φωτεινοτάτη νεφέλη, ἡ παντὸς τοῦ χριστιανικοῦ γένους σκέπη τε καὶ βοήθεια, ἡ τῶν πενθούντων παράκλησις, ἡ τῶν ἀσθενούντων ῥῶσις καὶ ταχυτάτη ἐπίσκεψις, τῶν θλιβομένων ἡ χαρά, ἡ τῶν ἀπελπισμένων ἐλπὶς βεβαία, ἡ τῶν καταπονουμένων ἀντίληψις, ἡ τῶν πιπτόντων ἀνόρθωσις, τῶν ἱσταμένων ἡ συνεκτικὴ ‖ [φ. 130β] εὐδρομία, τὸ τῶν ἀνάκτων ὀχύρωμα, ἡ πάντων τῶν πιστῶς καταφευγόντων καὶ προσιόντων τοῖς οἰκτιρμοῖς σου θᾶττον ἢ λόγος ἀποπληροῦσα τὰ πρὸς σωτηρίαν αἰτήματα, ἡ τοῦ ἀγαθοῦ μόνου καὶ ἐλεήμονος καὶ φύσει εὐσπλάγχνου θεοῦ μήτηρ ἀγαθή τε καὶ εὔσπλαγχνος καὶ πολυέλεος· σύ, ὀλβιόδωρε τῶν ὄντων ἁπάντων δέσποινα, κατάπεμψον ἡμῖν τὰ ἐλέη σου τὰ πλούσια καὶ τῇ ἀμάχῳ δυνάμει σου τὴν ποίμνην σου ταύτην καὶ ἅπαντα τὸν λαόν σου τὸν ἐπικεκλημένον τὸ πανάγιον ὄνομα τοῦ υἱοῦ σου καὶ θεοῦ ἡμῶν ἄτρωτον καὶ ἀπόρθητον διαφύλαξον, τὸν εὐσεβέστατον καὶ ὀρθοδοξότατον αὐθέντην καὶ ἡγεμόνα τοῦ χριστιανικοῦ τοῦδε πληρώματος τῇ τῶν σῶν πρεσβειῶν κραταιᾷ ἰσχύι περίφραξον

1. ἱεραρχεία ἐλάμπεται 3. δηλονότι 4. πανυπερεύλογημένη 5. καθαγιωσύνης 6. οὐκισχύουσιν ἐξαυτοῦ 7. ἐξαλομένην 11. όντως 23. όχείρωμα 27. όντων

καὶ ἀκαταμάχητον ποίησον καὶ κατὰ τῶν τῆς πίστεως ἐχθρῶν φοβερὸν || ἀνάδειξον καὶ ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ πάντα ἐχθρὸν [φ. 131r] καὶ πολέμιον· τὸν νέον Γοργορᾶν καὶ εὐσεβέστατον καὶ ὀρθοδοξότατον αὐθέντην καὶ πιστότατον οἰκέτην σὸν τῇ χάριτί σου κραταίωσον καὶ ὁδήγησον εἰς πᾶν ἔργον ἀγαθὸν καὶ ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνην σταθερὰν αὐτοῖς δώρησαι· τοὺς ἐπιλέκτους ὑπ' αὐτοὺς πάντας Χριστιανοὺς ἐν ἀγάπῃ πνευματικῇ αὐτοῖς σύναψον· τὸν φιλόθεον στρατὸν ἅπαντα κατὰ τῶν ἀθέων ἐνίσχυσον βαρβάρων. Ὁρᾷς γάρ, ὦ πανσθενεστάτη παντάνασσα, ὅτι οἱ ἐχθροί σου ἤχησαν κύκλῳ καθ' ἡμῶν καὶ οἱ μισοῦντές σε ἦραν κεφαλὴν ἐπὶ τὸν χριστώνυμόν σου λαὸν καὶ δόλους καὶ μηχανὰς ἀφανισμοῦ καταπανουργεύουσιν ἡμῶν. Ἀλλ' ἡμεῖς τῷ σταυρῷ καὶ τοῖς ὑπερφυέσιν ἐγκαυχώμεθα παθήμασι τοῦ υἱοῦ σου καὶ θεοῦ ἡμῶν. || Διὸ [φ. 131v] ἔκχεαι ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν ἐχθρῶν ἡμῶν· ὅπλισον ἡμᾶς τῇ ἐξ ὕψους θείᾳ δυνάμει σου καὶ μὴ ἡμῖν ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν· τὸν ἀρχιερέα καὶ ποιμενάρχην τῆς ἁγίας τῆσδε ποίμνης σου διαφύλαξον ἀβλαβῆ ἀπὸ παντὸς ἀνιαροῦ συναντήματος καὶ ἐν τῇ ἱεραρχίᾳ αὐτοῦ τὸ κέρας τῶν Χριστιανῶν ὕψωσον καὶ τὸν περὶ αὐτὸν ἱερὸν κλῆρον τῷ φωτὶ τῆς χάριτός σου καταλάμπρυνον καὶ τῇ τῶν θείων καὶ σεπτῶν ἐντολῶν τηρήσει συνέτισον· τῶν τοῦ διαβόλου ἐπινοιῶν ἀνωτέρους ἀνάδειξον καὶ μὴ δώῃς τὸ ἁγίασμά σου καὶ τὰ εὐαγῆ σου τεμένη, πανύμνητε δέσποινα, ὑπὸ τῶν ἐχθρῶν καταπατηθῆναι καὶ μιανθῆναι τὴν κληρονομίαν σου διὰ λαὸν ἡμαρτηκότα καὶ ἀπεγνωσμένον, ἀλλὰ φιλευσπλάγχνως ἐπικαμφθεῖσα τῇ ἀσθενείᾳ ἡμῶν τῇ ἀστραπῇ σου || ἀοράτως ἡμῖν ἐπάρκεσον καὶ μέχρι [φ. 132r] τέλους τὸν σὸν λαὸν καὶ τὴν σὴν κληρουχίαν σὺν τῷ πιστοτάτῳ αὐθέντῃ καὶ βασιλεῖ ἀσινῆ καὶ ἀπόρθητον [κ]αὶ ἀδούλωτον ἐν εἰρηνικῇ καταστάσει διαφύλαξον, ἐγκαυχωμένους τῇ δυνάμει καὶ χάριτι τῆς πανυπερενδόξου καὶ προσκυνητῆς εἰκόνος τῆς βασιλείας σου, ἵνα διὰ παντὸς δοξάζηταί σου τὸ πανάγιον ὄνομα καὶ τοῦ σοῦ υἱοῦ, τοῦ

3. γοργορᾶ 6. σταθηρᾶν 14. ἔκχεον ἐξεναντίας 15. ἐξύψους 17. ποίμνησου συναντίματος 22. ευαγή 24. φιλευσπλαγχνος (ω above) 29-30. διὰ παντὸς κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος διὰ πάντων 30. δοξάζεται

Κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

ΣΗΜ. Ἀνωτέρω ἐν σ. 411, 14 ἀντὶ λαχόθεν γράφε λαχὸν καὶ πρόσθες τὸ λαχόθεν εἰς τὰς διαφόρους γραφὰς τοῦ κειμένου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006